ΣΟΛΟΜΩ͂Ν
ἜΜΜΕΤΡΟΣ,

Sive
Tres libri SOLOMONIS
ſcilicet,
Proverbia, Eccleſiaſtes,
Cantica,
Græco carmine donati
Per
JACOBUM DUPORTUM,
Cantabrigienſem,
G. L. P.

CANTABRIGIÆ,
Ex Officina *Rogeri Danielis*, almæ Academiæ
Typographi. 1646.

Εἰς Σολομῶντα ἔμμετρον.

Μηκέτ' ἀπὸ τρίποδος χρηστήρια νῦν ἀναφαίνοι
Ὀμφὴ Ἀπόλλωνος ψευδολόγοιο θεοῦ.
Ὧδε μόνοι Δελφοί· Δύπορος δ' ἔσθ' ὑποφήτης·
Τρεῖς βίβλοι εἰσὶ τρίπους, καὶ Σολομῶν Πύθιος.

Ἀλγερνῶνος ὁ Καικίλιος.

Stromateus ſacer,

Sive

PROVERBIA
SOLOMONIS

Græcis verſibus
contexta.

Παροιμίαι Σολομῶντος.

ΚΕΦ. α΄.

1 ΑΙνοι τοῦ Σολομῶντος ἀγακλήτου βασιλῆος,
Δαβίδης ὃν ἔτικτεν· ὃ γοῦν Σολύμοισιν ἄνασσεν,
Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς καὶ μάντις ἀ- (μύμων.
Αὐτὰρ ἐπεί μιν μοῖρα κάλει, σκῆπτρόν τ' ἀρετήν τε
Κάλλιφ' ὁμῶς τῷ παιδὶ, καί οἱ μάλα πόλλ' ἐπέτελλεν
Αἰὲν ἀριστεύειν, καὶ ὑπείροχον ἔμμεναι ἄλλων,
Μύθων τε ῥητῆρ' ἔμμεναι, πρηκτῆρά τε ἔργων
Ὦ λαῷ, ἵνα πάντες ὀναίατο τοῦ βασιλῆος.
Ὡς ὅγ' ἔκητι Θεοῦ πατρώϊον ἔλλαβεν ἀρχὴν,
Ἀβραμιδέων γενεῆς, Ἰσραήλοιό τ' ἀνάσσων
Πολλῇ ἐν εἰρήνῃ, ἐπεί οἱ Θεὸς ὄλβον ὄπασσε,
Καὶ νόον ἐν στήθεσσιν ἀπείρονα ποιμένι λαῶν.
Τοὔνεκά μιν τ' ἀνέηκε διδασκέμεναι τάδε πάντα
Αἴνοισιν πυκινοῖσι, παροιμιακοῖσί τε μύθοις,
2 Γιγνώσκειν, φρονέειν, πείθειν τε φρένας ἔμμεναι ἄλλων,
Ἴδμεν ἐχεφροσύνην τε παραιφασίην τ' ἐρατεινὴν,
Καλά τε τῶν πινυτῶν ἔπεα φρεσὶν ᾗσι νοῆσαι·
3 Δέχθαι ἐφημοσύνην, καὶ μήδεα πυκνὰ δαῆναι,
Ἰθείῃσι δίκῃσι, θεμίστεσσίν τε κεκάσθαι,
Ῥεῖα διαγνῶναι, ἠμὲν κακὸν, ἠδὲ καὶ ἐσθλόν·
4 Ἄφρονι κέρδεα πολλὰ, νόον τ' ἐν στήθεσι δοῦναι
Ὁπλοτέροις γενεῇ, καὶ ἐνιστάξαι φρένας ἐσθλάς.
5 Οὔατ' ἐφετμῇσι κλίνων πεπνυμένος ἀνὴρ
Μᾶλλον πέπνυται, καὶ κερδαλεώτερος ἔσται·
Ὅς τε νοεῖ, ἔτι μᾶλλον ἐπιψαύσει πραπίδεσσιν,
Οὕνεκα μῦθον ἄκουσεν, ἑῷ τ' ἐγκάτθετο θυμῷ·
Οὔας γάρ θ' ὁδός ἐστι, δι' ὕδατος ὡς ὀχετοῖο

Μ

Proverbia Solomonis.

CAP. I.

PRoverbia Solomonis inclyti regis,
David quem genuit; is enim Solymis regnavit,
Utrumque, & rex bonus, & vates inſignis.
Verùm cùm eum fatum vocabat, ſceptrúmque virtutémque
Reliquit pariter ſuo filio, & ei valdè multùm mandavit
Semper optimé ſe gerere, & præſtantiorem eſſe aliis,
Sermonúmque prolocutorem eſſe, actorémque operum
Suo populo, ut omnes fructum perciperent ex rege.
Ità ille voluntate Dei paternum cepit imperium
Abramidarum genti Iſraelíque imperans,
Multâ in pace, quandoquidem Deus illi opulentiam præbuit,
Et intelligentiam in pectore immenſam paſtori populorum.
Idcirco & eum incitavit docere hæc omnia
Sententiis acutis proverbialibúſque dictis,
Scire, intelligere, prudentiâ excellere alios,
Cognoſcere ſapientiámque, inſtructionémque amabilem,
Pulchra ſapientum verba *quemque* animo ſuo percipere:
Recipere mandatum, & conſilia prudentia diſcere,
Rectis judiciis, legibúſque inſtrui,
Facilè diſcernere tum malum tum bonum.
Stulto ſolertiam multam, & intelligentiam in pectore dare
Junioribus natu, & inſtillare mentem bonam.
Aures præceptis inclinans ſapiens vir
Plus ſapit, & verſutior erit:
Quique intelligit, adhuc magìs attingit prudentiam,
Quoniam ſermonem audiit, ſuóque repoſuit in animo.
Auris enim via eſt, per aurem tanquam canalem

Μή τις ὀλισθαίνῃ, καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύῃ·
Ὥς ὁ τάχ' εἰδήσει πυκινὰ φρεσὶ μήδε' ὑφαίνειν,
6 Γρίφους τ' ἀλλύειν, ἅμα τ' αἶνον καὶ νόον ἴδμεν,
Κέδν' ἔπεα ξυνέμεν, πινυτῶν τ' αἰνίγματα φωτῶν.
7 Ἀρχὴ καὶ κορυφὴ σοφίης πέλε δεῖμα Θεοῖο·
Ἀλλὰ δαημοσύνην πολυϊδρείην τε νόοιο
Νήπιοι οὐκ ἀλέγουσιν, ὅσοι τ' ἀποφώλιοί εἰσι.
8 Δεῦρ' ἄγ' ἰὼν, φίλε τέκνον, ἐμῆς δ' ἐπικέκλυθι φωνῆς,
Τέθμια πατρὸς ἕλε, μητρὸς μὴ λήθευ ἐφετμέων·
9 Καλὸν γὰρ κρήδεμνον ἐπὶ κράτεσφιν ἔσονται,
Ὅρμοι τε χρύσειοι ἀμφ' αὐχένι παμφανόωντες.
10 Εἰ σέο πειρήσαιντο κακοῖς θέλκτροισιν ἀλεῖται,
Ἀλλὰ σὺ, παῖ, ἀνάνευ', ἰδὲ μὴ ἐπιπείθεο μύθῳ.
11 Εἴπερ τις τότε εἴπῃ, Ἄγ', ἔρχεο καὶ σὺ μεθ' ἡμῖν,
Κλῦτε φίλοι, ἐπεὶ οὔ τι κακῶν ἀδαήμονές εἰμεν,
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες,
Ἄμμι δόλοι τε, φόνοι τ', ἀνδροκτασίαι τε μελόντων,
Ναὶ δὴ καὶ ἵζωμεν πυκινὸν λόχον ἀρτύναντες,
Ἤν τάχα που καὶ κρύβδα κιχείομεν ἄνδρας ἀθώους,
Λάθρη σφέας λοχόωντες, ἀναίτιοι εἴπερ ἔωσιν·
Ἀλλ' ἔρχεσθε λόχονδ', ἵνα θ' ἡμῖν κύρμα γένοιτο.
12 Ὠμοὺς βεβρώθοιμεν, ἵν' ἡμετέροισι λάρυγξιν
Οἷά περ ἐν λαύροισι τάφοις κεκρυμμένοι εἶεν,
Ὡς ὅτε τεθνειῶτες ἔβαν δόμον Ἄϊδος εἴσω.
13 Δήομεν ἐν μεγάροισι κειμήλια πολλὰ καὶ ἐσθλὰ,
Ληϊστέων γέρα καλὰ, καὶ ὁππότε δασμὸς ἵκηται,
Ἔσται ἄδην, ἵνα τ' ἄμμι δόμοι πλήθωσιν ἐάων.
14 Δεῦρο νῦν, οἶσε, πέπον, καὶ ὁμοῦ τεὸν ἔμβαλε κλῆρον,
Πάντα τὰ κοινὰ φίλων, μία δ' οἴη πᾶσιν ἅμ' εἴη
Μοῖρά τε καὶ ζωὴ, ξυνήϊά τ' ἄμμι γένοιτο.
15 Ὥς ποτέ τις κ' εἴπῃσι· σὺ δ', ὦ παῖ, μή σφιν ὁμάρτει,
Χάζεο πόλλ' ἀπάνευθε, καὶ ἴσχεο νόσφι λιασθεὶς,

Prudentia labitur, & in mentem hominis pervadit:
Ità ille ſtatim ſciet ſapientia animo conſilia texere,
Griphóſq; ſolvere,ſimúlq; proverbiũ ejúſq; ſenſum cognoſcere,
Scita verba intelligere, ſapientúmq; ænigmata virorum.
Principium & caput ſapientiæ eſt timor Dei:
Sed diſciplinam, multámque mentis ſcientiam
Stolidi non curant, nec quotquot inſipientes ſunt.
Huc ades, chare fili, meámque exaudi vocem,
Jura patris accipe, matris nè obliviſcere mandata:
Pulchrum enim velamentum capitis erunt,
Et monilia aurea circa collum fulgentia.
Si te tentaverint malis illecebris peccatores,
At tu, fili, abnue, & non obtempera ſermoni.
Et ſi quis tum dixerit, Age, veni & tu nobiſcum,
Audite amici, quandoquidem neutiquam malorum ignari ſumus,
Quin agite, ſicut ego dicam pareamus omnes,
Nobis dolíque, cædéſq;, homicidiáque curæ-ſint,
Nunc verò etiam collocemus denſas inſidias ſtruentes,
Si fortè alicubi clàm occupabimus viros innocentes,
Occultò iis inſidiantes, immerentes licèt fuerint:
Verùm venite ad inſidias, ut nobis præda ſit.
Crudos eos devoremus, ut noſtro gutture
Tanquam in patulis ſepulcris conditi ſint.
Veluti cùm mortui deſcendunt in inferni domum,
Inveniemus in ædibus theſauros multos & bonos,
Prædonum præmia pulchra, & cùm diſtributio venerit,
Erit abundè, ut & nobis ædes impleantur bonis.
Age,affer, amice, & ſimul tuam injice ſortem,
Omnia amicorum communia,una autem & unica omnibus ſimul ſit
Sors, & ſubſtantia, & communes-opes nobis ſint.
Sic fortè aliquando quis dixerit;tu autem,ô fili,nè eos ſequere,
Recede admodum longè, & abſiſte procul ſemotus,

Οἴμου ἀπὸ σφετέροιο παρακλιδὸν ἴχνος ἔρυκε.
16 Καὶ γὰρ ἐπ' αἴσυλα ἔργα ποσὶ κραιπνοῖσι φέρονται,
Ἔς τε φόνον σπεύδουσιν ἀεικέα θύουσι λύσσῃ.
17 Μάψ τις ἐπ' ὀρνίθεσσι τὸ δίκτυον ἀμπετάσαιτο,
Τάων μὲν τ' ἀντικρὺ καὶ ὀφθαλμοῖσιν ἰδουσέων·
Ῥεῖά κε ταί γε πέτοντο φόνον καὶ κῆρα φυγοῦσαι,
Ἀνέει δ' ἐλπὶς ὄλωλε, καὶ ἰοῦ ἀνεμάλιος ἄγρη.
18 Οἵ τ' ἄλλους λοχόωσι κατακτείνειν μεμαῶτες
Λάθρη, ἀνωϊστί, σφίσιν αὐτοῖς κῆρα φέρουσιν,
Αὐτοί τε σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
19 Ἡ δίκη ἐστὶ βροτῶν, οὓς ληΐδος ἵμερος αἱρεῖ,
Κερδαλέων θ' ἁρπαλέων· οἷς χρήματα πάντα μέμηλεν,
Οἵ τε φιλοκτέανοι, κέρδος σφίσι θυμὸν ἀπηύρα.
20 Ἡ σοφίη ἐβόησ', ἐν ἀγυιῇς ἴαχε φωνὴν,
Ἡ ὁδὸς ἐς λαύρην, ὅθι τε πλεῖστος πέλε λαός·
21 Στῆ δ' ἄρ ἐνὶ τριόδοισι, διαπρύσιον δὲ γέγωνεν
Ἄστεος εἰνὶ πύλῃσι, μέσῳ τ' ἀνδρῶν ἐν ὁμίλῳ·
Ἔνθα στᾶσ' ἤϋσε θεὰ μέγα τε δεινόν τε
Ὄρθι' ἐν ἀνθρώποις, πολυμεμφέα τ' ἔννεπε μῦθον.
22 Αἰδὼς, ἄνθρωποι, κάκ' ἐλέγχεα, ἄχθεα γαίης,
Νήπιοι, ἕως πότε γὰρ μέλλει ὑμῖν φίλον εἶναι
Νηπιάας ὀχέειν; βουλὴν δ' ἀθερειζέμεν ἐσθλὴν
Οὐδέποτ' αἰδέσσεσθε, χαλίφρονες ἀνέρες αὔτως;
Ὡς αἰεὶ τέρψεσθε χαλιφροσύνῃ ἀλεγεινῇ,
Ἐχθρὴ δ' ἔσσεται ὔμμι σαοφροσύνη ἐρατεινή;
23 Ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον,
Καὶ φρέν' ἐπιγνάμπτειν, στρεπταὶ μέν τε φρένες ἐσθλῶν,
Στρέψασθ' οὖν παλίνορσοι, ἐμῇ πεισθέντες ἐνιπῇ·
Πνεῦμά μου ἐνστάξω, καὶ θεῖον ἀϋτμένα χεύσω
Ὕμμιν ἐπὶ πραπίδεσσι, λόγους τε μου ὔμμε διδάξω.
Οὕνεκ' ἐγὼ βοάασκον, ἀπηνήνασθε δὲ πάντες·
24 Πολλάκι χεῖρας ὄρεξα, καὶ οὔτις ἐμεῦ ἀλέγιζε·

A via illorum declinando veſtigium inhibe.
Etenim ad ſceleſta opera pedibus velocibus feruntur,
Et ad cædem feſtinant immanem impetuoſâ rabie.
Fruſtra quis propter aves rete expanderit,
Ipſis illum coràm & oculis intuentibus:
Facilè utique ipſæ avolarent cædem & fatum fugientes,
Homini autem exſpectatio periret, & eſſet irritum aucupium.
Qui aliis inſidiantur, interficere cupientes
Occultò. ex-improviſo, ſibi ipſis mortem ferunt,
Ipsíque ſuis ſceleribus pereunt.
Hic mos eſt hominum quos prædæ cupido capit,
Lucrorúmq; rapacium: quibus opes tantæ ſunt-curæ,
Quíque avari *ſunt* lucrum iis animam aufert.
Sapientia clamat, in plateis emittit vocem,
Ubi via ad vicum-latum, & ubi plurimus eſt populus:
Stat autem in triviis, altum autem vociferatur
Urbis in portis, medióque virorum in cœtu:
Ibi ſtans clamat dea magnúmque gravéque
Elatâ-voce inter homines, querulúmque edit ſermonem.
Proh pudor! ô homines, mala probra, pondera terræ,
Stulti, quouſque enim vobis gratum erit
Stultitiam circumferre? conſilium autem contemnere bonum
Nunquam verebimini, ſtolidi homines nequicquam?
Adeóne ſemper gaudebitis ſtoliditate miſerandâ:
Inviſa autem erit vobis prudentia amabilis?

Verùm obtemperate & vos, quandoquidẽ obtemperare melius *eſt*
Et mentem flectere, flexibiles ſunt mentes bonorum,
Convertimini igitur reduces, meæ obedientes increpationi.
Spiritum meum inſtillabo, & divinum halitum fundam
Vobis in præcordia, verbáque mea vos docebo.

Quoniam ego clamavi, renuiſtis autem omnia:
Sæpe manus extendi, & nemo me curabat.

25 Νοσφίζεσθε δὲ πάμπαν, ἐμὴν τ' ἀθερίζετε βουλήν·
Ὅσσά τ' ἐλέγξασ' εἶπον, ὁμοκλήσασά τε μύθῳ,
Οὔτις ἐν ὔμμιν ἔδεκτο, καὶ οὐκ ἐμπάζετο μομφῆς.
26 Τοὔνεκ' ἐγὼ γελόωσα καὶ ὑμετέρῃσιν ἐπ' ἄτῃς
Τέρψομαι, ἀργαλέῃ ἐπ' ὀϊζύϊ καγχαλόωσα,
Ἀντίην κερτομέουσ' ὅταν ὑμέτερον δέος ἔλθῃ,
27 Ὑμέτερον δέος ἔλθῃ ἀδευκεῖ ἶσον ὀλέθρῳ
Ἐξαπίνης, καὶ πίτμος ἀμείλιχος ἠΰτε λαῖλαψ,
Οἶτος ἐπεὶ χαλεπὸς καὶ ὀϊζὺς ὔμμιν ἐπῆλθε.
28 Τόφρα με φωνήσουσι, καὶ οὐκέτ' ἀμείψομαι αὐτούς·
Πρωῒ δ' ὑπ' ἠοῖοι διζήμενοί εἰρόμενοί τε
Οὔποτε δή μ' εὑρήσουσι, πόνος δ' ἀχρήϊος ἔσται.
29 Οὕνεκ' ἐπιφροσύνη σφίσιν οὐ καταθύμιος ἦε,
Πολλὰ δ' ἀπηνήναντ', οὐδ' ἥνδανε δεῖμα Θεοῖο.
30 Οὐδ' ἔθελον παραδέχθαι ἐμὴν ζωαρκέα βουλήν,
Μῆτιν δ' ἠρνήσαντο, καὶ οὐκ ἀλέγιζον ὁμοκλῆς.
31 Ἔργων οὖν σφετέρων χαλεπὴν τίσουσιν ἀμοιβήν,
Καὶ κακοῦ, ὅ, τι φύτευσαν, ἐοικότα καρπὸν ἔδονται·
Τοὺς καὶ ἄλις βουλέων τε ἐπαυρήσεσθαι ὀΐω,
Δηνέων θ' ἄσσ' ἐνόησαν, ἄδην τ' ἐλάαν κακότητος.
32 Νηπύτιοι γὰρ σφῇσιν ἀποστασίῃσιν ὀλεῦνται,
Ὄλβος τ' ἀφραδέων σφιν ἀεικέα πότμον ἐφήπει.
33 Ὃς δέ κέ μοι πείθηται, ὅδ' ἀτρέμας οἰκία ναίων
Θαρσήσει, ἐπεὶ οὔ οἱ ἔπι δέος, οὐδέ τι λίην
Ταρβήσει ἐνὶ θυμῷ, ἐπερχομένοιο κακοῖο.

ΚΕΦ. β'.

1 Υἱέ μευ, εἰ μύθους πρόφρων ὑποδέξεαι ἁμούς,
Ὅσσά τέ σοι ἐπέτελλον, ἐνὶ φρεσὶ νηόθι κεύσεις·
2 Ὡς κεν ἐχεφροσύνῃ κλίνῃς ἀειήκοον οὖας,
Καὶ φρόνις ἱμερόεσσα τεὴν περὶ κῆρι μεμήλῃ·
3 Εἰ καὶ ἐπ' ἰδμοσύνῃ βοάῃς, μετόπισθε διώκων,

Ἀπερ-

Repudiaſtis autem omnino, meúmq; ſpreviſtis conſilium:
Quæcunque etiam redarguens dixi, objurgánſque ſermone.
Nemo inter vos admiſit, nec rationem-habuit increpationis:
Idcirco ego ridens etiam veſtras ſuper calamitates
Delectabor, gravi de ærumna geſtiens præ gaudio,
Palàm ſugillans, cùm veſter metus venerit,
Veſter metus venerit amaræ ſimilis perditioni
Repentè, & interitus atrox ſicut turbo,
Calamitas poſtquam ſæva, & miſeria vobis ſupervenerit.
Tunc me vocabunt, & non ampliùs reſpondebo iis,
Manè autem ſub diluculo quærentes ſciſcitantéſque
Nuſquam me invenient, labor autem inutilis erit.
Quoniam ſapientia iis non grata erat,
Multùm verò *eam* recuſarunt, nec placuit timor Dei:
Nec voluerunt recipere meum vitale conſilium,
Monitionem autem reſpuerunt, & non curarunt increpationem.
Operum igitur ſuorum gravem luent pœnam,
Et mali, quod plantarunt, meritum fructum edent:
Eóſq; ſatìs conſilia luituros opinor,
Et conſultationes quaſcunq; in animo-habuerãt, abundéq; exantlaturos ærumnæ.
Inſipientes enim ſuâ apoſtaſiâ peribunt,
Opéſque ſtultorum ipſis grave exitium immittent.
Qui autem mihi auſcultat, is tranquillè domum incolens
Confidet, quippe non illi aderit timor, neque valde
Metuet in animo, ingruente malo.

CAP. II.

FIlli mi, ſi ſermones libens accipies noſtros,
Et quæcunque tibi mandavi, in mente ima recondes:
Ità ut ſapientiæ inclines attentam aurem,
Et prudentia tibi in corde curæ ſit:
Et ſi ſcientiæ inclames, à tergo proſequens,

Ἀσπερχὲς πινυτὴν καλέων διζήμονι φωνῇ·
4 Εἰ τάχα μιν σπουδῇ μάλα δίζεαι ἠδὲ μεταλλᾷς,
Οἷά περ ἀργύρεον διφῶν ὑπὸ κεύθεσι γαίης,
Ἢ κρύφιον θησαυρὸν ἐνὶ μεγάροιο μυχοῖσι·
5 Δὴ τότε δεῖμα Θεοῖο κατὰ φρένα, καὶ κατὰ θυμὸν
Εἰδήσεις, γνῶσίν τε Θεοῦ ζωαρκέα δήεις.
6 Ἀθάνατος γὰρ μῆτιν, ὅπως ἐθέλῃσιν ἑκάστῳ,
Καὶ νόον ἐν στήθεσσι δίδωσι· δύναται γὰρ ἅπαντα·
Τοῦ δ' ἀπὸ στόματος πινυτὴ ῥέεν ἰδμοσύνη τε.
7 Τοῖσι δικαίοισι φρένιν ἔμπεδον ἐντὸς ἔθηκε,
Καὶ πυκινὸν ταμίευσε νόον, κειμήλιον ἐστί·
Ἀνδράσι δ' ἰθυπόροις ἀσπίς τε καὶ εἶλαρ ἐτύχθη.
8 Τίει θέμιν, ῥύετ' ἔργα δίκης, ὁσίοισιν ἑοῖσιν
Ἐν πάσῃσιν ὁδοῖσι παρίσταται, ἠδὲ φυλάσσει.
9 Τῷ σὺ δικαιοσύνην τε καὶ εὐνομίην ἐρατεινὴν,
Ἰθείας τε θέμιστας, ἰδ' αἴσιμα πάντα νοήσεις.
10 Εὖτέ σοι ἀμφὶ νόον φρένας ἔλθῃ πότνια μήτηρ,
Εὖτ' ἂν σοι καλή τε καὶ ἱμερόεσσα φανῇσι
Θεσπεσίη πινυτὴ, καί μιν περὶ κῆρι φιλήσῃς·
11 Κερδοσύνη σε φυλάξει, ἐπιφροσύνη τε σαώσει.
12 Ὄφρα κέ σε ῥύσαιτο ὑπ' ἐκ κακοῦ ἀνδρὸς ὁδοῖο,
Ὅς τ' ἔπεα σκολί' οἶδε, καὶ οὐκέτι πίστ' ἀγορεύει.
13 Οἵοι πολλοὶ ἔασι δίκης προλιπόντες ἀταρπὺς,
Οὐλομένης κακότητος ἵνα στείβωσι κέλευθα
Λυγρ', ὀλοὰ, σκοτόεντα, καὶ ἀργαλέης ὁδὸν ἄτης.
14 Νήπιοι, οἷς μέγα χάρμα πέλει κακὰ μηχανάασθαι,
Τερπωλή τε καὶ ἦθος ἀτάσθαλος ὕβρεις ἀλειτέων,
Οἵ τε κακορραφίην καὶ σχέτλια ἔργα φιλεῦσι·
15 Λοξοβάται, σκολιῇσιν ἀεὶ χαίροντες ἀταρποῖς,
Στρεβλοὶ, πολυέλικτοι, ἀπηνέα θυμὸν ἔχοντες.
16 Ὄφρα κέ σε ῥύσαιτο ἀπὸ ξείνης τε γυναικὸς,
Ἀλλοδαπῆς, ἣ πολλὰ βροτῶν θελκτήρια οἶδεν,

Diligenter prudentiam invocans anxiâ voce:
Si ſtatim eam ſedulò admodum quæris, & inveſtigas,
Veluti argentum ſcrutans ſub latebris terræ,
Aut occultum theſaurum in domûs penetralibus:
Tum certè timorem Dei in mente & in animo
Scies, & cognitionem Dei vivificam invenies.
Immortalis enim prudentiam, prout vult, ſingulis,
Et mentem in pectore dat: poteſt enim omnia.
Ejus autem ab ore ſapientia fluit ſcientiáque.
Juſtis prudentiam firmam intus ponit,
Et prudentem reponit animum cimelium eſſe.
Viris autem rectè-incedentibus, clypeus & tutamen eſt.
Honorat æquitatem, defendit opera juſtitiæ, ſanctis ſuis
In omnibus viis adſtat, & *eos* cuſtodit.
Unde tu juſtítiámque, & æquitatem amabilem,
Rectáq; jura, & æqua omnia intelliges.
Quandocunque ad tuam mentem acceſſerit prudentia reverenda (mater,
Quando tibi pulchra & amabilis viſa fuerit
Divina prudentia, & eam animitus dilexeris:
Solertia te cuſtodiet, prudentiáque ſervabit.
Ut te liberet à mali viri ſemita,
Qui verba petulantia novit, & non fidelia loquitur.
Quales multi ſunt juſtitiæ relinquentes vias,
Pernicioſæ malitiæ ut calcent tramites
Malos, exitiales, tenebricoſos, & moleſtæ viam noxæ.
Stulti, quibus magnum gaudium eſt mala machinari,
Voluptáſq; & delectatio, improba violentia peccatorum,
Quíque malas-machinationes, & improba opera diligunt.
Obliquè-incedentes tortuoſis ſemper gaudentes ſemitis,
Perverſi, multùm-volubiles, crudelem animum habentes.
Ut te liberet à peregrina etiam muliere,
Alienigena, quæ multa mortalium delinimenta callet,

Αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
Παρφαμένη ἔκλεψε νόον πύκα περ φρονεόντων.
17 Ἥ τε τάχα σφετέρης ἡγήτορα κάλλιπεν ἥβης,
Ῥήτρην θ᾽, ἣν πίηστε μετ᾽ ἀθανάτοιο Θεοῖο,
Ὅρκιά τ᾽ οὐκ ἀλέγει, καὶ ἐλήθετο συνθεσιάων.
18 Οὐδῷ γὰρ θανάτοιο μάλα σχεδὸν οἰκία ναίει,
Ἡ μόρος ὀβειμοεργὸς ἔχει σκιόεντα μέλαθρα·
Καὶ νεκύων ἐς ὅμιλον ἑαὶ νεύουσι κέλευθοι,
Ἡ ὁδὸς εἰς αΐδαο, βροτῶν τ᾽ εἴδωλα καμόντων.
19 Οἱ δ᾽ ἐὰν οἶκον ἵκανον, ἀπὸ σφίσι νόστος ὄλωλεν,
Οὐδ᾽ ἔτι μιμνήσκονται ὑπότροποι ἀπονέεσθαι,
Οὐδ᾽ αὖθις μέλλουσι φερέσβιον οἶμον ὁδεύειν.
10 Ὄφρ᾽ ἀγαθῶν τε κέλευθα, καὶ αἴσιμα ἔργα φυλάσσῃς,
Ἴχνεσί τ᾽ ἰθυπόροισιν ἐνιχείμπτῃσθα δικαίων.
21 Οἱ γὰρ ἀμύμονές εἰσι, δίκης θ᾽ ὑποφήτορες ἄνδρες,
Ἀσκηθέες ζώοντες ἅμα κληισαίατο γαῖαν,
Εὔκηλοι, μάλα δηρὸν ἐπὶ χθονὶ ναιετάοντες.
22 Δυσσεβέες δ᾽, οἷς αἰὲν ἀήσυλα ἔργα μέμηλε,
Ταμνόμενοι, δρύες ὡς προθέλυμνοι ἔραζε πεσοῦσαι,
Ῥιζόθεν ἐξαπολοίατ᾽ ἀπὸ χθονὸς εὐρυοδείης.

ΚΕΦ. γ᾽.

1 ΜΉποτ᾽ ἐμοῦ θεσμοῦ ἐπιλήθευ, ὦ φίλε τέκνον,
Ἀλλ᾽ ἐμέθεν ξύνες ὦκα, καὶ ἐν φρεσὶ βάλλεο μῦθον,
Καί μευ ἐφημοσύνας κραδίῃ ἔνι σεῖο φύλασσε.
2 Μακρόβιος δ᾽ ἤπειτα (τὸ γὰρ γέρας ἔρχετ᾽ ἀπ᾽ αὐτέων.)
Καὶ πλυήμερος ἔσσῃ, ἐπὶ δηρὸν δέ τοι αἰὼν,
Πολλῇ ἐν εἰρήνῃφι περιπλομένων ἐνιαυτῶν.
3 Τέκνον, μή σέ ποτ᾽ οἶκτος ἀληθείη τε λίποιεν,
Ἄμφω ἐπ᾽ αὐχένι δῆσον, ἐνὶ πραπίδεσσι δὲ γράψον,
Οἷά περ ἐν πίνακι γλυπτῷ, μνημήϊον εἶναι.
4 Ὡς χάριν εὑρήσεις μενοεικέα, καὶ φρένας ἐσθλάς,

Ἀμ-

Semper autem mollibus & blandis ſermonibus
Pelliciens furatur mentem quantumvìs ſapientum.
Quæq; ſtatim lubricæ ducem relinquit juventutis,
Et fœdus quod fecerat cum immortali Deo,
Et juramenta non curat, & obliviſcitur pactorum.
Limen enim mortis admodum propè domum habitat.
Ubi fatum gravia-patrans tenet umbroſas ædes:
Et mortuorum ad cœtum ejus vergunt ſemitæ,
Ubi eſt via ad infernum, mortaliúmq; ſimulacra defunctorum.
Quíque ad ejus domum venerunt, iis reditus perit,
Nec ampliùs meminerunt retro reverti,
Nec iterum vitale iter ingreſſuri ſunt.
Ut bonorum vias & juſta opera obſerves,
Et veſtigiis rectè-incedentibus appropinques juſtorum.
Qui enim ſunt inculpabiles, & juſtitiæ profeſſores,
Incolumes viventes ſimul poſſidebunt terram,
Quieti, valdè diu in terra habitantes.
Impii autem, quibus ſemper ſceleſta opera curæ ſunt,
Exciſi, velut arbores funditus in terram collapſæ
Radicitus diſperdentur à terra latas-vias-habente.

CAP. III.

Haud unquam legem meam obliviſcere, ô chare fili,
Sed mihi attende citò, & in animo perpende ſermonem,
Et mea mandata corde in tuo cuſtodi.
Longævus autem deinde (hoc enim præmium venit ab illis)
Et multorum-dierum eris, & diuturna *erit* tibi vita,
Multa in pace circumvolventibus annis.
Fili, nè te unquam miſericordia, & veritas deſerant,
Ambas circa collum liga, & in præcordiis ſcribe,
Veluti in tabella plicata, monumentum eſſe:
Sic favorem invenies jucundum, & mentem bonam,

Ἀμφότερον, καὶ ἔναντα Θεοῦ, καὶ ἔναντ' ἀνθρώπων.
5 Μηδέ τοι ἔστω θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος,
Θάρσει δ' ἐν κραδίῃ, πίσυνος Θεῷ· ἠδὲ μάλ' αὐτῷ
Μῦθον ἐπιτρέψῃς, μηδὲ φρεσὶ σῇσι πεποίθῃς.
6 Ἐν πάντεσσ' ἔργοισιν ἑὴν ἐποπίζεο βουλὴν,
Εὖ εἰδὼς ὅτι ταῦτα Θεοῦ ἐν γούνασι κεῖται,
Ὅς κέ τοι ἀρχὸς ὁδοῖο πέλοι καὶ πομπὸς ἀπήμων.
7 Μηδέ τι λίην θάρσει, ὀϊόμενος σοφὸς εἶναι,
Ἄζεο δ' Ἀθάνατόν τε, κακοῦ τ' ἄπο χάζεο πάμπαν.
8 Τοῦθ' ὑγίεια μέλεσσι, καὶ ὀμφαλῷ ἔσσεται ἀλκὴ,
Μυελὸς ὀστέοισίν τε τεοῖς, σάρκεσσί τε πᾶσι.
9 Ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
Ἀθανάτῳ· τοῦ καὶ σὺ Θεῷ ἀκροθίνια δοίης
Ἐκ παντὸς βιότοιο, φέρων χαρίεσσαν ἀμοιβὴν,
Μηδέ τι οἱ βωμοὶ δεύοιατο δαιτὸς ἐΐσης.
10 Ὥς σοι ἐνὶ μεγάροις κειμήλια κείμενα πολλὰ
Ἔσσετ' ἐπ' εὐθενίῃ δὲ μέγα βρίθουσιν ἀλωαὶ
Καρποῖς παντοίοισιν ἐπηετανὸν γανόωσαι,
Πίονος ἀμήτοιο βεβυσμέναι· οἱ δέ τε ληνοὶ
Οἴνου ἀποβλύσουσι μελίφρονος ἀκρήτοιο.
11 Τέκνον, μὴ ἀθέριζε φίλην μάστιγα Θεοῖο,
Μηδέ τι λίην κάμνε τυπεὶς ὑπὸ χερσὶν ἑῇσι,
Πληγὰς δ' ἀτρέμα δέξο, καὶ οὐ τετιηότι θυμῷ·
12 Ὅττι φιλοφροσύνης ἐπιμάρτυρος ἔπλετο ῥάβδος,
Ὅν τε Θεὸς περὶ κῆρι φιλεῖ, μάστιγι δαμάζει·
Ὡς δὲ πατὴρ ἑὸν υἱὸν, ὅς οἱ τράφ' ἐνὶ μεγάροισι
Μοῦνος ἐὼν ἀγαπητὸς, ὅμως μάστιζέ μιν αὐτὸς
Πληγῇσι μαλακῇσιν, ἑκὼν ἀέκοντί γε θυμῷ·
Ὡς Θεὸς ἀνδρόμεα ῥάβδῳ ἐπεμαίετο νῶτα,
Ἠρέμα πεπληγὼς γλυκυπίκροισι πληγῇσι.
13 Τρὶς μάκαρ κεῖνος ἀνὴρ, σοφίην ὃς δίζων ἔτετμεν,
Ὃς πινυτὴν εἴρυτο, νόοιό τε ἔμμορεν ἐσθλοῦ.

Οὗτος

Utrumque & coram Deo, & coram hominibus.
  Neque tibi ſit animus in pectore incredulus,
Confide autem in corde fretus Deo: & omnino illi
Sermonem committas, neque animo tuo confidas.
  In omnibus operibus ejus reverere conſilium,
Certò ſciens quòd hæc Dei in genibus ſita ſunt,
Quique tibi dux viæ ſit, & ductor tutus.
  Neque admodum confide, putans te eſſe ſapientem,
Venerare autem Immortalémque, & à malo recede omnino.
  Hoc ſanitas membris, & umbilico erit robur,
Medulla oſſibúsque tuis, & carnibus pinguedo.
  O fili, certè bonum eſt convenientia dona dare
Immortali: quapropter & tu Deo primitias des,
Ex omni ſubſtantia afferens gratioſam retributionem,
Neque ejus aræ careant convivio juſto.
  Sic tibi in domo theſauri repoſiti multi
Erunt: præ abundantia autem valdè oppleti erunt agri,
Fructibus omnigenis quotannis ſplendentes,
Pingui meſſe referti: torcularia autem
Vino ſcatebunt dulci, meraco.
  Fili nè contemnas amicum flagellum Dei,
Neque valdè fatiſce percuſſus à manibus ejus,
Verbera autem placidè accipe, & non ægro animo.
  Quoniam benevolentiæ teſtis eſt virga,
Quémque Deus animitus amat, flagello domat:
Sicut autem pater ſuum filium, qui ei nutritus eſt in domo
Solus exſiſtens, dilectus, & tamen flagellat illum ipſe
Verberibus mollibus, volens nolenti animo:
Sic Deus humana virgâ leviter perſtringit terga,
Senſim percutiens dulciter amaris verberibus.
  Ter felix hic homo ſapientiam qui divinam invenit,
Qui ſapientiam ſibi attrahit, mentémque ſortitur bonam.

14 Οὗτος γὰρ θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος·
Κρείσσων τοι σοφίης ἢ ἀργύρου ἐμπορός ἐστιν,
Οὐδέ ποτ' ἐκ χρυσοῦ τόσον ἀνέρας ἵκετο κέρδος,
Χρυσοῦ, ὃς μέγα χάρμα πέλει δειλοῖσι βροτοῖσι,
Χρυσοῦ, εἰ καθαρός περ ἔῃ καὶ πολλὸν ἄπεφθος.
15 Οὐδ' ἔθεν ἄξιοί εἰσι λίθοι, τοὺς βέρβερει τίκτει,
Πουλυτελεῖς δέ τ' ἔασιν, ἐρυθραῖοί τε καλεῦνται·
Οὐδ' οἱ μάργαρα καλά ποτ' ἤθελεν ἰσοφαρίζειν,
Οὐδέ κε πᾶν ἐρίτιμον, ὅ, τι φρεσὶ σῇσι μενοινᾷς,
Ἶσόν θ' οἱ φάσθαι, καὶ ὁμοιωθήμεναι ἄντην.
16 Τῇ δ' ἐπὶ δεξιόφιν ζωὴ καὶ γῆρας ὀπηδεῖ,
Ἡ δ' ἐπ' ἀριστερόφιν πλοῦτος, καὶ πότνια τιμή,
Πλούτου κυδαλίμοιο κασιγνήτη, ἑταίρη τε·
Τοῖοί οἱ θεράποντες ἀμύμονες, ἀμφίπολοί τε.
17 Ἱμερόεντα δέ οἱ καὶ ἐπήρατα πάντα κέλευθα,
Χάρμασι καὶ χαρίτεσσι κεκασμένα· καὶ ὁδοὶ αὐτῆς
Ἡσυχίης ὁδοί εἰσι, καὶ εἰρήνης τεθαλύης.
18 Ζωῆς δένδρεόν ἐστι, φέρον μελιηδέα καρπὸν
Τοῖσι κιχανομένοισι· μακάρτατος ὅς μιν ἔδεκτο.
19 Ἀθάνατος σοφίῃ τὰ θεμείλια θήκατο γαίης,
Γαῖαν ἔνερθεν ἔταξε, καὶ οὐρανὸν εὐρὺν ὕπερθε,
Ποίησεν δ' ἄμφω πολυϊδρείῃσι νόοιο.
20 Τοῦ καὶ φραδμοσύνῃσιν ἀνερράγη ἄσπετον ὕδωρ,
Βένθεά τ' ἀστήρικτα, καὶ ὑγρὰ θέμεθλα θαλάσσης·
Καὶ νεφέλαι ταχύποτμοι ὑπ' αἰθέρι βεβριθυῖαι
(Θαῦμα ἰδεῖν) ἐπέτασθεν, ἵν' αὐτέων τηκομενάων
Πιαλέῃς ψεκάδεσσιν ἅλις δεύοιατ' ἄρουραι.
21 Ὦ τέκος, αἰδοίη πινυτή, καὶ μῆτις ἀμύμων
Μήποτε νοσφίζοιντο τεῆς ἀπάνευθεν ὀπωπῆς·
Ἀλλ' ἔχεο κρατερῶς, ἐπεὶ ἔλλαβες, ἔτι μεθήσων.
22 Ψυχῇ κεν βιότητα, χάριν δέ τοι αὐχένι δοῖεν,
Ἀμφότερον, δηρόν τ' ἔμεναι, καλόν θ' ὁράασθαι.

Hic enim theſaurus inter homines optimus:
Melior ſapientiæ quàm argenti mercator eſt,
Nec unquam ex auro tantum ad homines pervenit lucrum,
Auro, quod magna voluptas eſt miſeris mortalibus,
Auro, etſi purum ſit, & multum excoctum.
Neque eo digni ſunt lapides quos concha parit,
Qui & valdè pretioſi ſunt, & erythræi dicuntur:
Neque ei gemmæ pulchræ unquam poſſunt æquiparari,
Neque ullum pretioſum, quod mente tuâ concupiſcis,
Æquale ſe ei dicere, & comparari contrá.
Hanc autem à dextra vita & ſenectus comitantur,
Et à ſiniſtra opulentia, & venerabilis honor,
Opulentiæ egregiæ germanus, & ſocius:
Tales ei famuli inſignes, & ancillæ ſunt.
Optabiles autem ejus & amabiles omnes ſemitæ,
Gaudiis & gratiis ornatæ : & viæ ejus
Quietis viæ ſunt, & pacis floridæ.
Vitæ arbor eſt, ferens dulcem fructum
Eam aſſequentibus: feliciſſimus qui eam recipit.
Immortalis ſapientiâ fundamenta poſuit terræ,
Terram infrà fabricavit, & cœlum latum ſuprà,
Fecit autem utrumque multâ-peritiâ mentis.
Ejus etiam conſilio erupit ingens aqua,
Abyſsíque inſtabiles, & madida fundamina maris;
Et nubes citò perituræ, ſub æthere gravidæ
(Mirum viſu) extenſæ ſunt, ut iis liqueſcentibus
Pinguibus guttis affatim irrigentur agri.
Fili, veneranda ſapientia, & prudentia illuſtris
Nè unquam recedant tuo à conſpectu:
Sed retine fortiter, poſtquam prehendiſti, non dimiſſurus.
Animæ vitam, gratiam autem cervici dabunt,
Utrumque ut & diu ſis, & ſpecioſus viſu.

23 Τόφρα κεν ἀσφαλέως στείβῃς ὁδὸν, οὔποτ' ὀλισθῶν,
Οὐδ' ἐρειπὼν ποτε ποσσὶ, καὶ οὔ τινι πήματι κύρσας.
24 Κείσεαι ἐν λεχέεσσι, φόβον δέ τοι οὔτις ἐνόρσει,
Ἡδὺ μάλα κνώσσων κατακείσεαι, ἀτρέμας εὕδων,
Εὕδων τε γλυκερὸν, καὶ νήδυμον ὕπνον ἀωτῶν.
25 Μή σέ ποτ' οὖν δέος ἴσχοι ἀκήριον, εἴπερ ἐπέλθῃ
Δεινὸν ἀνωϊστί· μὴ δείδιθι πότμον ἀλειτέων,
Ὁππότ' ἐπεισέρχῃσι, καὶ αἰφνίδιόν περ ἐόντα.
26 Θαλπωρὴ γάρ τοι Θεὸς ἔσσεται, ᾧ κε πεποίθῃς,
Ὅς πάσῃς ἐν ὁδοῖσι παρεστάμενός σε φυλάσσει,
Καὶ ῥύεται πόδα, μή σε παγὶς δολόεσσα μεμάρπῃ.
27 Μήποτ' ἀνήνασθαι χάριν ἐρδέμεν, ᾗ θέμις ἐστὶν,
Ἀλλ' ἀγαθὸν τελέσειας ἐναίσιμον, οἷς περ ἔοικεν,
Εἰ δυνάσαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν.
28 Εἰ νύ τι σεῖο χατίζει, ὅ, τις τοι πλησίον ἔλθῃ,
Μή τι μὲν ἄπρηκτον, κενεόν τ' ἀπόπεμπε νέεσθαι,
Μηδὲ κακῶς ἀφέῃς, μῦθον τοιόνδ' ἐπιτέλλων,
Μὴ νῦν δηθύνῃς, ἀλλ' ὕστερον αὖτις ἵκησθα,
Αὔριον ἢν ἔλθῃς, δόσις ἐξ ἐμεῦ ἔσσεται ἐσθλή·
(Ὡς ποτέ τις ἐρέοι, ὅ κεν αὔριον οὐδ' ἄλλα δοίη)
Ἀλλὰ δὸς ὅττι τάχιστα (δόσις δ' ὀλίγη τε φίλη τε)
Ὡς γὰρ πολλὸν ἄμεινον, ἐπεὶ δύναμίς γε πάρεστιν·
Μηδ' ἀμβάλλεο δῶρον, ἐπεὶ γλυκερώτεραί εἰσιν
Ὠκεῖαι χάριτες, βράσσον δέ τε δῶρον ἄδωρον.
29 Ὦ τέκος, οὐχ ὁσίη κακὰ ῥάπτειν ἀνθρώποισι·
Μήτ' οὖν γείτονι φωτὶ ἀτάσθαλα μηχανάασθαι,
Ὅς τε μάλ' εὔκηλος, σέο τ' ἐγγύθεν οἰκία ναίει.
30 Μή τινι μαψιδίως ἐριδαίνειν, μηδ' ὑπὲρ αἶσαν
Νεικεῖν ἄνδρα δίκαιον, ὃς οὔτι σοι αἴτιός ἐστιν,
Οὔτε σέ πω κάκ' ἔοργε, καὶ οὐ σινέσκετο πάμπαν.
31 Μηδέ θ' ὑπερφιάλῳ φθονέειν καὶ ὑπερβίῳ ἀνδρὶ,
Τοῦ δ' ὕβριν τε κακὴν, καὶ ἀτασθαλίην ἀλέασθαι,

Tunc tutò calcabis viam, nunquam titubans,
Neq; unquam labens pedibus, neq; in ullum infortunium incidens.

Jacebis in lecto, timorem autem tibi nemo incutiet:
Suaviter admodum ſopitus decumbes, placidè dormiens,
Dormiens ſuaviter, & jucundum ſomnum carpens.

Nè ergò te unquam metus occupet exanimis, licèt ſupervenerit
Grave quid inopinató :nè time ruinam peccatorum,
Quandocunque ingruat, licèt repentina ſit.

Solatium enim tibi Deus erit, cui confidas,
Qui omnibus in viis adſiſtens, te cuſtodit,
Et tuetur pedem, nè te laqueus doloſus prehendat.

Nè unquam renuas gratiam facere, quatenus fas eſt,
Sed bonum facias conveniens iis, quibus decet,
Si potes perficere, & ſi perficiendum ſit.

Si aliquâ in re te indiget, qui tibi vicinus venerit,
Nè eum irritum, & inanem dimitte redire,
Nec malè dimittas, tale mandatum dans,
Nè nunc morêris, ſed poſthac iterum accedas,
Cras ſi veneris, donum ex me erit bonum:
(Sic aliquando dixerit quiſpiam qui cras nè ſalem dabit,)
Sed da quàm-citiſſimè, (munus autem quamvìs exiguum, gratum [tamen eſt)
Ità enim multò melius, quandoquidem facultas adeſt:
Nec differ donum, quandoquidem ſuaviora ſunt
Cita beneficia, tardius autem donum non-donum (*eſt*)

O fili, nefas (eſt) mala machinari hominibus:
Nè igitur contra vicinum nefaria moliaris,
Qui & valdè tranquillus, & prope te domum habitat.
Nè fruſtrà cum aliquo contende, neque præter fas
Rixare cum viro juſto, qui neutiquam tibi in-culpa eſt,
Nec tibi ullo modo malefecit, nec nocuit omnino.

Nec inſolenti invide & ſuperbo homini,
Sed inſolentiam ejus malam, improbitatémque devita,

Ἔργα θ᾽ ἔα στυγέειν, καὶ μὴ τοιαῦτά γε ῥέζειν.
32 Ἦ μάλα γὰρ σκολιοὺς Θεὸς ἔστυγεν· ἰθυνόους δὲ
Περιφρονέως ἐδίδαξεν ἑῆς μυστήρια βουλῆς.
33 Σχετλίῳ ἀνθρώπῳ Θεοῦ ἄγγελος ἦλθεν ἐριννὺς,
Ἀρὴ δ᾽ ὃν δόμον εἶχ᾽, ἄτη θ᾽ ἣ πάντας ἀᾶται·
Οἰκία δ᾽ εὐσεβέων Θεόθεν πόλλ᾽ ἐσθλὰ κεχάνδει,
Ἐν δ᾽ ἀρετὴ, πλοῦτός τε, καὶ εἰρήνη ἄλις ἐστίν.
34 Ἐμπαίκτησ᾽ ἐνέπαιξε· χάριν δ᾽ ἀγανοῖσιν ὄπασσεν,
Οὕνεκά τ᾽ ἤπιοί εἰσι, καὶ ἤπια δήνεα θυμῷ
Εἰδότες, ὄφρ᾽ ἀπόναιατ᾽ ἐνηείης ἐρατεινῆς.
35 Ἀνδράσιν πινυτοῖσιν ἀεὶ μέγα κῦδος ὀπηδεῖ,
Κλῆρος ἀλήϊστος, καί σφι κλέος ἕψεται ἐσθλόν·
Ἡ δὲ κατηφείη γέρας ἀγλαὸν ἀφραδεόντων,
Αἰσχεῖ τε λώβῃ τε χαλίφρονες ἠρέθονται.

ΚΕΦ. δ΄.

1 ΚΕκλυτέ μου παῖδες, καὶ ἀκούετε πατρὸς ἐφετμάς,
Κλίνατε δ᾽ οὔατά μοι, ὄφρ᾽ εὖ εἰδῆτε νοῆσαι.
2 Ἐσθλὰ γὰρ ὔμμε διδάσκω ἐπιφροσύνῃσι νόοιο,
Ἀλλὰ πίθεσθέ τέ μοι, καὶ μὴ καταλείπετε θεσμόν.
3 Καὶ γὰρ πατρὸς ἐμοῖο φίλος παῖς φημὶ γενέσθαι·
Ὅς μ᾽ ἐπεὶ οὖν ἀταλὸν περὶ πάντων φίλατο παίδων,
Πολλῇ ἐνὶ θαλίῃ εὖ ἔτρεφεν, ἠδ᾽ ἀτίταλλε,
Μοῦνον ἐόντ᾽ ἀγαπητὸν ἐν ὀφθαλμοῖσι τεκούσης.
4 Ὅς τέ με πόλλ᾽ ἐδίδαξεν, ἔπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζε,
Κέκλυθι, τέκνον ἐμὸν, πατρὸς δ᾽ ἐμπάζεο μύθων,
Ἠδ᾽ ἔπεα ξύνες ὦκα, καὶ ἐν φρεσὶ βάλλεο σῇσιν·
Ὅσσά τέ σοι ἐπέτελλον, ἀεὶ περὶ κῆρι φύλασσε,
Ἠδ᾽ ἔχε᾽ ἀστεμφέως· τότε τοι βίος ἄφθιτος ἔσται.
5 Κτῆσαι ἐχεφροσύνην, κτῆσαι πινυτὴν ἐρατεινὴν,
Μήτ᾽ ἐπιλήθεο πάμπαν, ἀεὶ δ᾽ ἀειήκοον οὖας
Κλῖνον ἐμοῖσι λόγοις, καὶ μὴ ἀπίθησον ἐφετμῇ.

6 Μήπο-

Operáque ejus deteſtare, nec talia committe.
Certè enim præfractos Deus abominatur: juſtos autem
Libenter docet ſui myſteria conſilii.
Improbo homini Dei nuntia accedit Erinnys,
Maledictio autem ejus domum tenet, & noxa quæ omnes lædit:
Ædes autem eorum divinitùs multa bona complectuntur,
Inque iis virtus, & opulentia, & pax affatim eſt.
Deriſores deridet: gratiam verò manſuetis præbet,
Quoniam mites ſunt, & mitia conſilia in animo
Scientes, ità ut fructum-capiant ex lenitate amabili.
Viris ſapientibus ſemper magna gloria adeſt,
Hæreditas quæ-vi-auferri-non-poteſt, & eos fama ſequetur bona;
At opprobrium (eſt) præmium pulchrum ſtultorum,
Pudoréque & ignominiâ ſtolidi attolluntur.

CAP. IIII.

Auſcultate mihi filii, & audite patris mandata,
Inclinate autem aures mihi, ut bene ſciatis intelligere.
Bona enim vos doceo prudentiâ mentis,
Sed audite me, & nè relinquite legem.
Etenim patris mei charum filium dico me fuiſſe:
Qui me poſtquam tenerum præ omnibus amavit filiis,
Multis in deliciis bene nutrivit, & delicatè educavit,
Solum exſiſtentem dilectum in conſpectu matris.
Quíque me multa docuit, & verbum dixit, & me compellavit,
Audi fili mi, patris autem obſerva ſermones,
Et verba attende citò, & in mente perpende tuâ:
Quæque tibi præcepi, ſemper in corde cuſtodi,
Et retine firmiter; tunc tibi vita diuturna erit.
Acquire ſapientiam, acquire prudentiam amabilem,
Neque obliviſcere omnino, ſemper autem attentam aurem
Inclina dictis meis, & nè inobſequens ſis mandato.

Μήποτέ μιν προλίπησθα, σὲ τ' ἤματα πάντα σαώσει,
Ἀλλά μιν ἀμφαγάπαζε, σὲ τ' εἰς αἰῶνα φυλάξει.
7 Ἡ σοφίη τὸ πρῶτον, ὅ, τ' ἔπρεπε καὶ διὰ πάντων,
Ὅ, ττι κεν οὖν κτήσαιο, μάλιστα δὲ καὶ περὶ πάντων
Κτῆσαι τὴν σοφίην, κτῆσαι φρόνιν, οὕνεκ' ἄρ αὐτὴ
Ἐν πᾶσι κτεάτεσσι μέγ' ἔξοχον εὔχεται εἶναι.
8 Τὴν σὺ μάλ' ὕψωσον, καί τοι κλέος ἔσσετ' ἀπ' αὐτῆς·
Ἢν δέ μιν ἐνδυκέως φιλέῃς, σοὶ κῦδος ὀρέξει.
9 Κάλλος τ', ἀγλαΐην τε φίλην, χαρίεντά τε κόσμον
Θήσει ὑπὲρ κεφαλῆς, στέφανόν τ' ἐρικυδέα δώσει.
10 Κέκλυθι, τέκνον ἐμὸν, καὶ ἐνὶ φρεσὶ βάλλεο μύθους,
Σύνθεο, καί μευ ἄκουσον, ἐπὶ δηρὸν δέ τοι αἰὼν
Ἔσσεται, οὐδέ κέ σ' ὦκα τέλος θανάτοιο κιχείη·
11 Καὶ γὰρ ἐγὼ πινυτῆς ἰδίην σ' ἐδίδαξα κέλευθον,
Ἴχνιά θ' ὡδήγησα μετ' ἰθείῃσιν ἀταρποῖς.
12 Οὔ κέ ποτε στείνοιτό σευ ἴχνια νεισσομένοιο,
Καί κεν καρπαλίμοισι θέοις ποσὶν, οὐδέ κ' ὀλίσθοις.
13 Ἀστεμφέως διδαχῆς δράξασθαι, μήτε μεθεῖναι,
Ἀλλ' ἐχέμεν κρατερῶς, ζωὴ γὰρ σεῖο τέτυκται.
14 Μηδὲ θ' ἀμαρτινόων σκολιοὺς εἰσελθέμεν οἴμους,
Μηδέ θ' ὁμοστιχάειν κακοεργοῖς, μηδ' ἐφομαρτεῖν,
Μηδ' ἅμ' ὁδόν τ' ἰέναι, μηδέ σφι συνέμπορος εἶναι.
15 Φράζεο, βαῖν' ἀπάτερθε, παρακλιδὸν ἴχνος ἔπειγε,
Φεῦγε μεταστρεφθεὶς, καὶ χάζεο πολλὸν ὀπίσσω.
16 Οὐ γάρ σφι γλυκὺς ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζει,
Οὐδέ ποθ' εὕδουσι, πρὶν ἀτάσθαλα μηχανάασθαι·
Ὕπνος δέ σφιν ὄλωλ', ὅτε μή τισι πότμον ἔθηκαν,
Καὶ κακὰ πόλλ' ἔρδοντες, ἐπ' ἀνδράσι πῆμα φύτευσαν.
17 Καὶ γὰρ ἀλιτροσύνης φθισήνορα σῖτον ἔδουσι,
Καί τ' οἶνον πίνουσι βίης, καὶ ὕβριος αἰνῆς.
18 Οἵη δ' ἠελίου αἴγλη πέλει οὐρανόθι πρὸ,
Ὄφρα κεν ἠὼς ᾖ, τὸ δὲ γίνεται αἰὲν ἐφ' ὥρας

Nè unquam ipſam deſeras, & te cunctis diebus ſervabit,
Sed eam dilige, téque in ſæculum cuſtodiet.

Sapientia præcipuum eſt, & quod excellit inter omnia,
Quodcunque igitur acquiſieris, maximè autem & præ omnibus
Acquire ſapientiam, acquire prudentiam, quoniam illa
Inter omnes poſſeſſiones princeps gloriatur eſſe.

Hanc tu admodum extolle, & tibi gloria erit ab illa:
Si autem eam promptè ames, tibi gloriam præbebit.

Formam, ſplendorémque amabilem, & gratioſum ornatum
Imponet capiti, coronámque valdè glorioſam dabit.

Audi, mi fili, & in mente perpende dicta,
Attende, & me audi, diu autem tibi ævum
Erit, neque te citò finis mortis occupabit.

Etenim ego ſapientiæ ſacram te docui viam,
Veſtigiáque duxi per rectas vias.

Nec unquam arctabuntur tui veſtigia euntis,
Etiam velocibus curres pedibus, neque labêris,

Firmiter doctrinam apprehende, neque dimitte,
Sed tene fortiter, vita enim tua eſt.

Neque peccatorum obliquas ingredere ſemitas,
Neque unà incede cum malefactoribus, neq; (eos) comitare,
Neque ſimul in via eas, neque iis ſocius ſis.

Conſidera, vade ſeorſum, declinando greſſum urge,
Fuge converſus, & recede valdè procul.

Non enim illis dulcis ſomnus palpebris incidit,
Neque unquam dormiunt, priuſquam mala machinentur:
Somnus autem iis perit, niſi aliquibus ruinam attulerint,
Et mala multa patrantes, adverſus homines damnum ſtruxerunt.

Etenim improbitatis homines-perdentem cibum edunt,
Et vinum bibunt violentiæ, & injuriæ gravis.

Qualis autem ſolis ſplendor eſt in cœlo,
Cùm aurora eſt, fit autem uſque in horas

Splendi-

Λαμπρότερόν τε φάος, καὶ ἀέξεται ἱερὸν ἦμαρ,
῞Ειως ἠέλιος μέσον οὐρανὸν ἀμφιβέβηκε,
Σπίλβων ἀγλαΐῃ· τοίη ὁδός ἐστι δικαίων.
19 Ἀχλὺς δ᾽ ὧς ἐρεβεννὴ ἀλειτέων ἐστὶ κέλευθος·
Νήπιοι οὐκ ἴσασιν ὅ, τι σφι σκάνδαλον εἴη.
20 Κλῦθί μοι οὖν, φίλε τέκνον, ἐμῶν τ᾽ ἐμπάζεο μύθων,
Ἠδ᾽ ἐπέεσσιν ἐμοῖς ἀειήκοον οὖας ἔρειδε.
21 Μὴ χαζοίατο ταῦτα τεῆς ἀπάτερθεν ὀπωπῆς,
Ἀλλ᾽ ἔχεο κρατερῶς, μέσσῳ τ᾽ ἐνὶ κῆρι φύλαξον.
22 Ζωὴ γὰρ ψυχῇ τε πέλει μερόπεσσι βροτοῖσιν,
Ὅσσοι ἂν εὑρήσωσιν, ὑγεία τε πᾶσι μέλεσσιν.
23 Ἀλλήκτῳ φυλακῇ κραδίην ἐπὶ πᾶσι φύλασσε·
Τῆς γὰρ ἄπο βλαστοί τε καὶ ἐκροαί εἰσι βίοιο.
24 Σεῦ ἄπο νόσφιζε σκολιὸν στόμα τηλόθι μᾶλλον,
Χείλεα τῆλ᾽ ἀπὸ σεῖο διάστροφα πάμπαν ἔρυκε.
25 Δέρκεο δ᾽ ἀντικρὺ, καὶ μὴ ἐλέλιξον ὀπωπὰς,
Ἰθὺ δ᾽ ὀπιπεύοις σέθεν ἀντία νεισσομένοιο,
Ὀρθὰ δέ τοι βλέποι ὄσσε ὑπὸ βλεφάροισι τεοῖσι.
26 Φράζεο σεῖο κέλευθα, καὶ εὖ ἴθυνον ἀταρποὺς,
Ἔστω δ᾽ ἔμπεδος οἶμος, ἰδ᾽ ἴχνια πάντα βέβαια·
27 Μήποτ᾽ ἀποκλίνεσθαι παρὲξ ὁδοῦ ἰθυπόροιο,
Μήτ᾽ ἐπὶ δεξιὰ, μήτ᾽ ἐπ᾽ ἀριστερὰ ποσσὶ πλανηθῇς·
Φεῦγε δ᾽ ἀτασθαλίην, καὶ ἀπόπροθι ταρσὸν ἔρειδε.

ΚΕΦ. ε.

1 ΤΕκνον ἐμὸν, φρένιν ἡμετέρην ἐγκάτθεο θυμῷ,
Σύνθεο, καί μευ ἄκουσον, ἐπιφροσύνην τε νόησον.
2 Ὄφρα τοι αἰδοίη πινυτὴ περὶ κῆρι μεμήλῃ,
Ἰδρείη τ᾽ ἐρατεινὴ, ἐχεφροσύνη τε καθίζῃ
Ἐν χείλεσσι τεοῖς. σὺ δὲ μὴ ἀνεμώλια βάζῃς,
3 Χείλεα γὰρ πόρνης ὡς κηρίον ἡδὺ ῥέουσιν,
Ἥ τε μελισταγέας γλώσσης ἄπο χεῦεν ἐέρσας·

Ἀιεὶ

Splendidior lux, & augetur ſacra dies,
Donec ſol medium cœlum ingreditur,
Lucens ſplendore: talis eſt via juſtorum.

Caligo autem ut tenebroſa, peccatorum eſt via:
Stulti non norunt, quid iis offendiculum ſit.

Audi me igitur, chare fili, & meos cura ſermones,
Et verbis meis attentam aurem applica.

Nè recedant hæc tuo ſeorſùm à conſpectu,
Sed retine fortiter, medióque in corde cuſtodi.

Vita enim animáque ſunt viris mortalibus,
Quotquot ea invenerint, ſanitáſque omnibus membris.

Indeſinenti cuſtodiâ cor ſupra omnia cuſtodi:
Ab hoc enim germináque & effluentiæ ſunt vitæ.

A te remove pervicax os longè admodum,
Labra procul à te perverſa omnino prohibe.

Aſpice autem ex adverſo, & non torque oculos,
Rectà autem intuere te coram incedente,
Directè autem tueantur oculi ſub palpebris tuis.

Conſidera tuas vias, & bene dirige ſemitas,
Sit autem ſtabilis via, & veſtigia omnia firma.

Nè unquam declines extra viam rectam,
Neque dextrorſùm, neque ſiniſtrorſùm pedibus erres:
Fuge autem iniquitatem, & procul pedem fige.

CAP. V.

Fili mi, prudentiam noſtram repone animo,
Attende, & audi me, & ſapientiam intellige.

Ut tibi reverenda prudentia in corde curæ ſit,
Scientiáque amabilis, & ſapientia inſideat
Labiis tuis, tu autem nè futilia loquare.

Labia enim meretricis ſicut favus dulcis ſtillant,
Quæ & mellifluas è lingua effundit guttas.

Semper

'Αιεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
Θέλγει, ἐπεὶ στόμα οἱ μαλακώτερόν ἐστιν ἐλαίου.
4 'Οξὺ δέ μιν πικρόν τε βίου τέλος ἔλλαβεν, ὀξὺ
"Αμφηκες ξίφος ὥς, ἀψίνθιον οἷά τε πικρόν.
5 Καδ δέ οἱ ἐς θάνατόν τε πόδες καὶ πότμον ἔβησαν,
"Ιχνια δ' οἱ σχεδόν εἰσι καὶ εἰν ἀΐδαο δόμοισι.
6 Λεύσσειν γὰρ τόγε θυμῷ, ὅπως μὴ φυκτὰ πέλωνται,
Μὴ σὺ βιόιο κέλευθον ἐνὶ φρεσὶ βυσσοδομεύῃς·
"Αστατοί οἱ πόδες εἰσὶ, καὶ ἀτραποὶ οὐκ ἀρίδηλοι,
'Ουδέ τ' ἀρίγνωτοι, ἢ ἔνθ' ἢ ἔνθα κιούσῃ.
7 Δεῦτ' ἄγετ' οὖν, φίλα τέκνα, ἐπεὶ πείθεσθαι ἄμεινον,
Κέκλυτέ μευ μύθων, ξύνετε φρεσὶν, ὅ, τι κεν εἴπω,
'Εμπάζεσθε λόγων, καὶ μὴ ἀθερίζετε βουλήν.
8 Χάζεο πολλὸν ὀπίσσω, ἀπ' αὐτῆς τῆλ' ὑποχώρει,
Μηδέ ποθ' οἷο δόμοιο πύλῃς, τέκος, ἐγγύθεν ἔλθῃς.
9 Μὴ δῴης ἄλλοισι τεὸν κλέος, ἠδ' ἐνιαυτῶν
Χάρμα, καὶ ἥβης ἄνθος ἀπηνέα θυμὸν ἔχουσι.
10 Μήποτε σῆς ζωῆς ὄλβοιό τ' ἐνιπλησθῶσι
Ξεῖνοι· τοὶ δὲ τεὸν βίοτον νήποινον ἔδωσιν.
11 'Αλλά γέ τοι μετόπισθ' ἄχος ἔσσεται, οὕνεκ' ὄλωλε
Μυελὸς ἐκ μελέων, σαρκῶν δέ τε τηκομενάων
'Οστέα πάντα σέσηπε, κατεσκλήκασι δὲ γυῖα.
12 Καὶ τότε που ἐρέεις, Οἷόν μοι ἀπήχθετο μῆτις,
'Ουδ' ὀθόμην βουλῆς, ἀθέριζε δὲ θυμὸς ἐνιπήν;
13 'Ουδὲ διδασκόντεσσιν ἐπείθετό μευ φίλον ἦτορ,
'Ουδέ σφ' οὖας ἔρεισδον, ἐπίσκοποι οἵ μοι ἔτυχθεν;
14 'Εγγύθι δ' ἦν μάλα πάσῃ ἐνιχρίμψαι κακότητι
Μέσσῃ τ' εἰν ἀγορῇ, πολλῶν τ' ἀνδρῶν ἐν ὁμίλῳ.
15 Πίδακος ἐξ ἰδίης αὐτὸς πίε ἀγλαὸν ὕδωρ
Νωλεμὲς, ἠδὲ τεοῦ ἐκ φρείατος αἰπὰ ῥέεθρα.
16 Πηγαὶ σεῖο ῥέωσι διαμπερὲς ἄλλυδις ἄλλῃ,
Καὶ ποταμοὶ μέσσῃσιν ἐνὶ βλύζωσιν ἀγυιῆς.

17 Σοὶ

Semper autem mollibus, & blandis ſermonibus
Mulcet, quandoquidem os illi mollius eſt oleo.

Acutus autem eam, & amarus vitæ finis occupat, acutus
Velut gladius anceps, abſinthium ceu, amarus.

Ad mortem autem pedes ejus & interitum deſcendunt,
Veſtigia autem ejus propè ſunt etiam inferni domo.

Proſpicit enim hoc animo, ut nè effugium ſit,
Nè tu viæ vitam in animo intùs revolvas:
Inſtabiles ei pedes ſunt, & ſemitæ non perſpicuæ,
Neque valdè notæ, dum huc aut illuc incedit.

Adeſte agite igitur, chari filii, quoniam obedire ſatius,
Audite meos ſermones, percipite mente quicquid dixero,
Curate dicta, & nè contemnite conſilium.

Recede multùm retrò, ab illa procul regredere,
Nec unquam ejus domi januas, fili, prope accedas.
Ne des aliis tuam gloriam, & annorum
Gaudium, & juventutis florem crudelem animum habentibus.
Nè tuâ ſubſtantiâ, & facultatibus impleantur
Peregrini: iiſque tuum victum impunè edant.

Sed tibi deinceps dolor erit, eò quòd perierit
Medulla ex membris, carnibus autem tabeſcentibus
Oſſa omnia putrefacta fuerint, emaciata autem fuerint membra.

Et tunc dices, Quomodo mihi odio fuit conſilium,
Neq; curabam inſtructionem, deſpiciebat autem animus increpationem ;

Nec docentibus obtemperabat meum cor,
Nec illis aurem applicabam, qui mihi tutores fuerunt ;

Propè autem eram appropinquare omni nequitiæ
Media in concione, multorúmque hominum in cœtu.

Fonte ex proprio tu bibe limpidam aquam
Perpetuò, atque tuo ex puteo alta fluenta.

Fontes tui dimanent ſemper alii aliò,
Et fluvii mediis ſcateant in vicis.

17 Σοὶ δ' οἴῳ προρέωσ', ἰδὲ μὴ φθάνωσιν ἐπ' ἄλλους.
18 Εὖ θ' ὑδωρρείτω, κρήνη δέ σευ ὀλβίη εἴη·
Χαῖρε δὲ σῇ παρακοίτῃ, ὁμῶς ἐθέλων ἐθελούσῃ,
Ἣν, νέος ὢν ἔτ' ἔγημας, ἱμείρεο δ' ἤματα πάντα.
19 Ὡς ἔλαφος χαρίεσσα πέλοι, καὶ δορκὰς ἐραννὴ,
Καὶ μαζοῖσιν ἑοῖσι διηνεκέως φρένα τέρποις,
Ἠδὲ δαμεὶς δεσμοῖσιν ἐρωτοπίκων ὀδυνάων
Αἰεί μιν φιλέοις, καί σε γλυκὺς ἵμερος αἱροῖ.
20 Τέκνον ἐμὸν, τίπτ' ἂν ἐπιμαίνεαι ἀλλοτρίῃ περ,
Κόλπῳ τ' ἐμπεφυὼς, ἐθέλεις τε μιν ἀγκὰς ἑλέσθαι,
Ξείνην, οὐκ ἄλοχον, καὶ πλειστάκι δὴ περιμιγῆναι;
21 Ἀνδρὸς γάρ θ' ὁδοὶ ἔργα τ' ἐναντίον εἰσὶ Θεοῖο,
Ἀντίον εἰσὶ Θεοῖο· ὁ δ' ὀφθαλμοῖσιν ὄπωπεν
Ἴχνιά τ' ἀτραπιτούς τε, ταλαντεύεσκέ τε πάντα.
22 Ἧσιν ἀτασθαλίῃσι κακός νύ κεν αὐτὸς ἁλώῃ,
Ἐμπλεχθεὶς δεσμοῖσιν ἑῶν ἀμπλακιάων.
23 Ὤλετο γοῦν ἀδίδακτος, ἀϊδρείῃ δέ μιν ἔκτα
Πλαζόμενον πολλῇσι χαλιφροσύνῃσι νόοιο.

ΚΕΦ. ς'.

1 Ὦ Τέκος, εἰ ἐτεὸν πέλες ἔγγυος ἀντὶ φίλοιο,
Ἠδὲ ποτὶ ξεῖνον τάμες ὅρκια δεξιτερῆφι·
2 Ἐμπλέχθης ἐπέεσσι, τά σοι φύγεν ἕρκος ὀδόντων,
Ζωγρήθης ἐπέεσσι, τά σοι φύγεν ἕρκος ὀδόντων.
3 Ἀλλ' ἄγε, τέκνον ἐμὸν, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
Λῦσόν σ' ὅττι τάχιστα, φίλου ἐπεὶ ἵκεο χεῖρας,
Βάσκ' ἴθι, λίσσεο νῦν, ἱκέτης δέ οἱ εὔχεο εἶναι,
Προπροκυλινδόμενος, τάχα δ' οἱ σὺν θυμὸν ὀρίνῃς,
Καί κέν πως οἴχοιο χρέος καὶ δεσμὸν ἀλύξαις.
4 Μηδέ ποθ' ὀφθαλμοὺς ἔα ὕπνου δῶρον ἑλέσθαι,
Μηδέ τι πω μύοι ὄσσε ὑπὸ βλεφάροισι τεοῖσι.
5 Φεῦγε τάλαν, σέ τε ῥῦσαι ὑπ' ἐκ κακοῦ, ἠΰτε δορκὰς

Θηρευ-

Tibi autem ſoli profluant, & non perveniant ad alios.
Et bene aqua fluat, fons autem tuus felix ſit:
Gaude autem tuâ uxore, ſimul volens volente,
Quam, juvenis cùm eſſes, duxiſti, dilige autem omnes dies.
Ut cerva gratioſa ſit, & caprea amabilis,
Et mammis ejus perpetuò animum oblectes,
Et domitus vinculis amatoriorum dolorum
Semper diligas eam, & te dulcis cupido occupet.
Fili mi, quare igitur inſanè-deperis etiam alienam,
Gremióque inhærens vis eam ulnis amplecti,
Peregrinam, non uxorem, & cum pellice miſceri?
Viri enim viæ & opera ſunt in conſpectu Dei,
Sunt in conſpectu Dei: ille autem oculis aſpicit
Veſtigiáque, & vias, & ponderat omnia.
Suâ improbitate impius ipſe capietur,
Implicatus vinculis ſuorum ſcelerum.
Perit igitur indoctus, inſcitia autem eum perdit
Jactatum multâ inſaniâ mentis.

CAP. VI.

O Fili, ſi re verâ ſponſor fuiſti pro amico,
Et cum peregrino fœdera percuſſiſti dextrâ:
Irretitus es verbis, quæ tibi fugerunt vallum dentium,
Captus es verbis quæ tibi fugerunt vallum dentium.
Verùm age, fili mi, tu attende, & mihi auſculta,
Solve te quàm citiſſimè, amici poſtquam in manus veneris,
Vade age, obſecra eum nunc, ſupplex autem ei profitere eſſe,
Ad pedes provolutus, forſan autem ei animum moveas,
Et tunc evadas, debito & vinculis evitatis.
Neque unquam oculos ſinas ſomni munus capere,
Nec conniveant oculi ſub palpebris tuis.
Fuge miſer, téque libera à malo, tanquam caprea

Venato-

Θηρευτέω ἀπὸ χειρὸς, ἢ ὄρνεον ἰξευτῆρος.
6 Βάσκ' ἴθι πρὸς μύρμηκα διδάσκαλον, ἆνερ ἀεργὲ,
Φράζεο νῦν τὰ ἃ ἔργα, καὶ ἐν φρεσὶ βάλλεο σῇσιν.
7 'Ου γάρ οἱ ἡγήτωρ, οὐ κοίρανος ἐργοδιώκτης,
'Ου βασιλεὺς, οὔτ' ἄλλος ἐπίσκοπός ἐστιν ὁδαίων·
8 'Αυτὰρ ὅγ' αἶψα θέρευς γλυκερὸν συλλέξατο καρπὸν
'Ες ταμιεῖα φέρων, ἐπετήσιον εἶδαρ ἔσεσθαι·
Εὖ τ' ἀπὸ σῖτον ἔθηκε προμηθείῃσι νόοιο
Ὥρῃ ἐν ἀμήτου, ἵνα οἱ ποθὲν ἄρκιον εἴη.
9 Ἕως πότ', ἀεργὲ πέπον, κοιμήσεαι; ἢ πότ', ἀναιδὲς,
Ὄρσεαι ἐκ λεχέων, καί σε γλυκὺς ὕπνος ἀνήσει;
10 'Αλλ' ἔτι φῂς εὕδειν, ἔτι δὲ βραχὺν ὕπνον ἰαύειν,
'Αλλ' ἔτι νυστάζειν, ὕπνος δ' ὀλίγος τε φίλος τε.
Κείσεαι εἰν εὐνῆφι, μίνυνθά περ οὔτι μάλα δὴν,
Χεῖρας σύν τε πλέκων ἐνὶ κόλπῳ, οἷα καθεύδων.
11 Οὕτω κεν πενίη σοι ὁδοιπόρος ὥς τις ἐπέλθοι,
Χρειώ θ', ὡς ἀνὴρ κεκορυθμένος αἴθοπι χαλκῷ.
12 Στρεβλὴ μὲν γλῶσσ' ἐστὶν ἁμαρτινόου καὶ ἀλιτροῦ
'Ανδρὸς, ὅ, τε σκολιοῖσιν ἀεὶ μύθοισι κέκασται.
13 Ὄμμασι δενδίλλει, λαλέει δέ τε ποσσὶν ἑοῖσι,
Ῥεῖά τε χειρονομεῖ, δακτύλοισί τε σήματα φαίνει.
14 Κῆρ οἱ διέστραπται, κακὰ δὲ φρεσὶ μήδεται ἔργα,
'Αιεί οἱ φίλον ἐστὶν ἀτάσθαλα μηχανάασθαι·
Μῆλ' ἔριδος βάλλει, καὶ νείκεα λυγρὰ φυτεύει.
15 Τοὔνεχ' οἱ ἐξαπίνης χαλεπὴ ἐπελεύσετ' ὀϊζὺς,
Αἶψά μιν ἵξετ' ὄλεθρος, ἵν' οὐκέτι φυκτὰ πέλωνται.
16 'Αθανάτῳ ἐχθρ' εἰσὶν ὁμῶς αἴδαο πύλῃσιν
Ἓξ τάδε, ἀλλὰ καὶ ἑπτὰ κατέστυγεν ᾧ ἐνὶ θυμῷ·
17 Ὄμμά θ' ὑπερφίαλον, γλῶσσάν θ' ἣ ψεύδεα βάζει,
Χεῖράς τ' ἀνδροφόνους, αἳ ἀναίτιον αἷμα χέουσιν·
18 Εἶτα δὲ καὶ κραδίην ἣ ἀτάσθαλα μήδε' ὑφαίνει,
Καὶ πόδας ὦκα θέοντας ἐπ' ἀμπλακίην ἀλεγεινήν·

Venatoris à manu, aut avis aucupis.

Vade, ito ad formicam magiſtram, homo ignave,
Conſidera nunc ejus opera, & in mente perpende tua.

Non enim ei dux, non princeps operum præfectus,
Non rex, non alius procurator eſt viaticorum.

Tamen illa ſtatim in æſtate dulcem colligit fructum
In horreum ducens, annuum victum fore:
Et bene frumentum recondit providentiâ mentis
Tempore in meſſis, ut ei alicunde ſufficiens ſit.

Quamdiu, ignave mollis, dormies? aut quando, impudens,
Surges è lecto, & te dulcis ſomnus dimittet?

Quin adhuc dicis te dormire, & brevem ſomnum carpere,
Et adhuc dormitare, ſomnus autem vel exiguus, (eſt) gratus:
Jacebis in lecto parumper, non admodum diu,
Manúſque complicans in ſinu veluti dormiens.

Sic paupertas tibi, tanquam viator aliquis ſuperveniet,
Et indigentia, tanquam vir armatus ſplendido ære.

Perverſa quidem lingua eſt peccatoris, & impii
Viri, qui & pravis ſemper ſermonibus inſtructus eſt.

Oculis nictat, loquitur autem pedibus ſuis,
Facilè etiam manibus-geſticulatur, digitíſque ſigna oſtendit.

Corde perverſus eſt, mala autem in mente meditatur opera,
Semper ei cordi eſt flagitioſa machinari;
Poma contentionis projicit, & lites graves generat.

Quapropter ei repentè gravis ſuperveniet calamitas,
Confeſtim eum invadet mors, ut nè ſit effugium.

Deo inviſa ſunt æquè ac inferni portæ
Sex iſta: ſed & ſeptem abominatur ſuo in animo.

Oculúmque ſuperbum, & linguam quæ mendacia loquitur,
Et manus homicidas, quæ innocentem ſanguinem effundunt:

Deinde verò & cor quod improba conſilia texit,
Et pedes celeriter currentes ad nequitiam moleſtam.

19 Μάρτυρ' ἀμβροτοεπῆ, ὃ ψεύδεα πόλλ' ἀγορεύει,
Ἀνέρα θ' ὅς τ' ἐν ἀδελφοῖσιν κακὰ νείκεα τίκτει,
Ἠδὲ κασιγνήτους ἔριδι ξυνέηκε μάχεσθαι.
20 Ἀλλ' ἄγε, τέκνον ἐμὸν, σὺ δὲ σύνθεο, πατρὶ πιθήσας·
Πείθεό μοι, μητρός τε τεῆς μὴ λήθε' ἐφετμέων,
Μήτ' ἀθέριζε λόγους, θεσμοῖό τε μή τι μεθείης.
21 Τὸν δ' αἰεὶ περὶ κῆρι διηνεκέως ἀράρισκε,
Δῆσόν τ' ἤματα πάντα τεὴν περί τ' ἀμφί τε δειρήν.
22 Ὁππόσε κεν βαίνῃς, ὅδε τοι ὁδὸν ἡγεμονεύσει,
Ἡγεμονεύσει ἰόντι, καὶ ὑπνώοντα φυλάξει,
Καί τοι ὁμιλήσει, ὅτε σου γλυκὺς ὕπνος ἀνῆκε.
23 Λύχνος γάρ τε λόγος, φέγγος δέ τε θεσμὸς ἐτύχθη,
Οἶμοί τε ζωῆς ὑποθημοσύναι καὶ ἐνιπαί·
24 Ῥύσασθαί σου γυναικὸς ἀτασθάλου, ἠδὲ φυλάξαι,
Ἔκ τε δολοφραδέος γλώσσης μαχλοῖο γυναικὸς,
Ὄφρα μὴ αἱμυλίοισι παραπλάγξῃ φρένα μύθοις.
25 Μηδ' ἔθεν ὃν διὰ κάλλος ἱμείρεο σὸν κατὰ θυμὸν,
Μηδ' οἷσι βλεφάροισι ποθόβλητόν σε πιθείη.
26 Πολλάκι γάρ τ' ἀφνειὸς ἀνὴρ ὑπὸ μαχλάδι κοίτῃ
Ἔμπεσεν ἐς πενίην, καὶ ἐπεὶ λιμός μιν ἵκανε,
Πτωχεύων ἀνὰ δῆμον ἀναιδέος εἵνεκα πόρνης
Πλάζεται, αἴκέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ·
Ἀλλοτρίη δὲ γυνὴ ψυχῆς πέλε θηρήτειρα,
Ψυχῆς, ἧς οὐκ ἔστι βροτῷ ἀντάξιον ἄλλο.
27 Ἦ ῥά τις αἰθόμενον πῦρ δέξεται ᾧ ἐνὶ κόλπῳ,
Οὐδὲ φίλον πρήσει ἀμφὶ στήθεσσι χιτῶνα;
28 Ἤ τις ἐπ' ἀνθρακιῇ βαίνων πόδας ἔσσετ' ἄκαυστος;
29 Οὕτως ἀλλοτρίης ἀλόχου ἐπὶ δέμνια βαίνων,
Καὶ λάθρῃ φιλότητι μιγεὶς, οὐκ ἔσσετ' ἀθῷος.
30 Οὔτις λευγαλέον λίην λωβήσατο κλέπτην,
Ὅς φαγέμεν μεμαὼς ἄλλου ὑπὸ χρήματ' ἕληται,
Πείνῃ καὶ πενίῃ εἴκων· γαστὴρ γὰρ ἀνάγει

Σχετλίη,

Teſtem verbis-errantem, qui mendacia multa loquitur,
Virúmque qui inter fratres malas rixas parit,
Et germanos contentione committit ut pugnent.
Verùm age, mi fili, animadverte, patri obſequens:
Obtempera mihi, matríſque tuæ nè obliviſcere mandata,
Neque contemne ſermones, & legem nè deſere.

Hanc autem ſemper cordi tuo perpetuò adapta,
Liga autem omnibus diebus tuum circum circa collum.

Quocunque îeris, hæc tibi in via dux erit,
Dux erit eunti, & dormientem ſervabit,
Et tecum verſabitur, cùm te dulcis ſomnus dimiſerit.

Lucerna namque verbum, lúxque lex eſt,
Viáque vitæ, monita, & increpationes:
Liberare te muliere ab impia, & ſervare,
Et à doloſa lingua libidinoſæ mulieris,
Ut nè blandis ſeducat mentem ſermonibus.

Neque eam ſuam ob formam expete tuo in animo,
Nec ſuis palpebris amore-captum te reddat.

Sæpenumerò enim vir locuples, per libidinoſum lectum
Incidit in paupertatem, & quandoquidem fames ad eum venerit,
Mendicans per populum impudentis gratiâ meretricis,
Vagatur, ſi quis fortè poculum-aquæ, & fruſtum panis dederit:
Aliena autem mulier animæ eſt venatrix,
Animæ, cui nihil eſt homini æquè pretioſum aliud.
Numquis ardentem ignem capiet ſuo in ſinu,
Neque ſuam uret circa pectora tunicam ?
Aut nunquis ſuper prunas incedens pedibus erit non-uſtus?
Sic qui alienæ uxoris lectum conſcendit,
Et clanculum amore miſcetur, non erit innocens.

Nemo miſerum valdè contumeliâ afficit furem,
Qui eſuriens alterius pecuniam ſurripuerit,
Fami, & paupertati cedens: venter enim ſuadet

Σχετλίη, ἥ τ' ἐκέλευσεν ἑὸ μνήσασθαι ἀνάγκη.
31 Ἀλλ' εἰ μέν θ' εὕρωσι κατάσκοποι, οἷ' ἔοργεν,
Ἑπτάκις ἂψ ἀποδώσει, ὅσον λάβεν· οἶκον ἅπαντα,
Κερδέων ἁρπαλέων τίσει ἐπιεικέ' ἀμοιβήν.
32 Ἀλλοτρίῃ δὲ γυναικὶ μιγεὶς φιλότητι καὶ εὐνῇ
Νήπιός ἐστι, καὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί·
Σχέτλιος ὃς τάδ' ἔρεξεν, ἐπεὶ ἑὸν ὤλεσε θυμόν.
33 Πληγὴ δ' οἱ λώβη τε μετ' ἀνδράσιν ἔσσετ' ὀπίσσω,
Ἄσβεστον δὲ τ' ὄνειδος, ὅ, τε χρόνος οὐκ ἀπαλείψει.
34 Δύσζηλοι γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
Δεινὸς τ' ἐστὶν ἀνήρ, ὅτε χώσεται ἧς ἀλόχοιο,
Ἦ γάρ οἱ οἰδάνεται κραδίη φρεσί, θῦγε δὲ θυμὸν
Ὁ ζῆλος, λύσσης ὅ, τ' ἀναιδέος ἐστὶν ἑταῖρος·
Τῷ καί οἱ οὐκ ἔτι φειδῶ, ὅτ' αἴσιμον ἦμαρ ἱκάνῃ.
35 Ἐχθρὰ δέ οἱ σέο δῶρα, καὶ οὔποτε δέξετ' ἄποινα,
Οὐδ' εἴ οἱ μάλα πολλὰ φέρων μοιχάγεια δοίης,
Ἀλλ' οὐδ' ὣς ἔτι θυμὸν ἑὸν πείσεσθαι ἔμελλες,
Οὐδέ κεν ὣς δώροισιν ἑὸν χόλον ἐξακέσαιο.

ΚΕΦ. ζ'.

1 Ἄγρει μάν, φίλε τέκνον, ἐμῶν ἐμπάζεο μύθων,
Καί μευ ἐφημοσύνας παρακάτθεο σῷ ἐνὶ θυμῷ.
2 Καί μευ ἐφετμῇσιν μάλα πείθεο, ὄφρα βιῴης,
Θεσμὸν ἐμὸν γλήνην ὣς ὀφθαλμοῖο φύλασσε.
3 Ἀστεμφέως ἀρτήεισκε τεῶν ἐπὶ δάκτυλα χειρῶν,
Ἐν πίνακι κραδίης γράφε, νωλεμὲς ὄφρα μένοιεν.
4 Ὦ πινυτὴ φίλη, εἰπέ, κασιγνήτη σύ μοι ἐσσί,
Σὺ γνωτὴ καὶ ὅμαιμος, ἐχεφροσύνη ἐρατεινή.
5 Ὄφρα κέ σε ῥυσαίατ' ἀπ' ἀλλοτρίης τε γυναικὸς,
Ξείνης θ', ἥ τ' ἔκλεψε νόον μαλακοῖσι λόγοισι.
6 Στὰς γὰρ ἐγὼ πάπτηνα δι' ἐκ θυρίδος μεγάροιο,
Λάθρη ὀπιπτεύων δι' ἐμῆς παρέκυψα σαλάμβης,

Ἔνθα

Improbus, quique jubet ſui reminiſci neceſſariò:
Quòd ſi eum invenerint ſpeculatores quale fecit
Septies (tantum) reſtituet, quantum accepit: ſubſtantiam totam,
Lucrorum rapacium ſolvet juſtam compenſationem.

Alienæ autem mulieri mixtus amore & cubili
Stultus eſt, nec ei ineſt mens, nè exigua quidem:
Miſer qui talia perpetrat, quandoquidem ſuam perdit animam.

Vulnus autem ei contumeliáque apud homines erit in poſterum,
Et immortale opprobrium, quod & tempus non delebit.

Zelotypi enim ſumus in terra, gentes hominum,
Ferox enim eſt vir, quando iratus fuerit ob ſuam uxorem,
Certè enim ei intumeſcit cor in mente, acuit autem animum
Zelotypia, quæ & rabiei impudentis eſt ſocia:
Quapropter & ei non ineſt miſericordia, cùm fatalis dies venerit.

Odioſa autem illi(erunt)tua dona,& nunquam accipiet pretium-redemptionis,
Neq; ſi ei valdè multa ferens dona, deprehenſi-adulterii-pretium (dederis,
Verùm neq; ſic animum ejus flexurus es,
Neque ſic muneribus ejus iram ſanabis.

CAP. VII.

AGe, mi fili, meos cura ſermones,
Et mea mandata tuo repone in animo.
Et meis præceptis valdè obtempera, ut vivas,
Legem meam pupillam ceu oculi ſerva.
Firmiter adapta tuarum circa digitos manuum,
In tabula cordis ſcribe, perpetuò ut maneant.
O prudentia chara, dic, ſoror tu mihi es,
Tu cognata, & conſanguinea, ſapientia amabilis.
Ut te liberent ab aliena fœmina,
Et peregrina, quæ decipit mentem mollibus verbis.
Stans enim ego proſpexi per feneſtram domûs,
Clàm ſpectans, per meam inclinans proſpexi tranſenniam.

7 Ἔνθα μετ' ἠλιθίοις αἰζήϊον ἄνδρα νόησα,
Ἠδὲ μετ' ἠϊθέοισι χαλίφρονα κοῦρον ὄπωπα·
8 Ὃς λαύρην διαβὰς μυχὸν ἤλυθε τῆσδε γυναικὸς,
(Ἔνθα γὰρ οἰκία ναῖεν ἀνὰ στεινωπὸν ἀταρπὸν)
Βῆ δ' ἀν' ὁδὸν μεμαὼς, τάχα δ' ἐγγύθεν ἵκε δόμοιο·
9 Ἤδη δὲ κνέφας ἦν, σκιόωντο δὲ πᾶσαι ἀγυιαὶ,
Καὶ βαθὺς ἕσπερος ἦλθε φέρων ἅμα νύκτα μέλαιναν.
10 Ἀλλ' ἐγὼ εὖ ἐδόκευσα, γυνὴ δέ οἱ ἀντεβόλησε,
Πόρνης εἵματ' ἔχουσα, νόῳ δ' ἔνι κέρδε' ἐνώμα.
11 (Ἄβρομος, αὐΐαχος, στερεὴ φρεσὶν, ἀλλὰ πόδεσσι
Πλάζεται, οὐδέ τι μίμνει ἑοῦ ἔντοσθε δόμοιο·
Φοιτᾷ δ' ἔνθα καὶ ἔνθα, κακῷ βεβολημένη οἴστρῳ·
12 Ἄλλοτ' ἐνὶ τριόδοις πωλευμένη, ἄλλοτ' ἀγυιῆς,
Ἄλλοτ' ἐνὶ στείνεσσι, καὶ ἐν κευθμῶσι πόληος,
Ἔνθ' ἧσται λοχόωσα, μυχοίτατος ἧ πέλε κόλπος)
13 Ὡς ἴδεν, ὥς οἱ ἐπᾶλτο, φίλας περὶ χεῖρε βαλοῦσα,
Ὡς δ' ἔχετ' ἀστεμφέως, ἐπεὶ ἀμφοτέρῃσιν ἔμαρψε,
Κῦσε δέ μιν περιφῦσα κάρη, κυνὸς ὄμματ' ἔχουσα,
Αἰὲν ἀναιδείην ἐπιειμένη, εἶπέ τε μῦθον.
14 Ἐστί μοι ἱερὰ νῦν. Θεὸν ἵλαον οἷσιν ἔθηκα,
Σήμερον ἐξετέλεσσ' εὐχωλὰς, ἅς περ ὑπέστην.
15 Τῷ σέθεν ἀντομένη, σέο θ' εἵνεκα δεῦρ' ἀφικάνω,
Νῦν δὲ μάλ' ἀσπερχὲς διζημένη, εἴπου ἐφεύρω,
Ἀσπασίως σε κιχάνω, ἐπεὶ τείλλιστος ἐπῆλθες·
16 Εὖ μάλα κοσμήσασα λέχος πόρσυνα καὶ εὐνὴν,
Ῥήγεα καστορνῦσ', ἔλκει τ' ἐφύπερθε τάπητας,
Σινδόνα τ' Αἰγυπτίην, καὶ στρώματα σιγαλόεντα.
17 Στακτὴν μέν τ', ἀλόην τε, καὶ εὔοδμον κινάμωμον
Πνείειν δείκνυά μευ θαλάμῳ ἐνὶ κηώεντι.
18 Ἀλλ' ἴομεν λέκτρονδε, τεταρπώμεσθα δ' ἔρωτος,
Εὐνῆς τε γλυκερῆς, ταρπώμεθά τε φρένα φίλτροις
Πάννυχον, ἕως ἄν τε φανῇ ῥοδοδάκτυλος ἠώς.

Ibi inter fatuos juvenem obſervavi,
Et inter juvenes ſtultum adoleſcentulum vidi:

Qui cùm vicum pertranſiiſſet,ad receſſum venit hujus mulieris,
(Ibi enim domum habitabat juxta anguſtum callem)
Ivit autem per viam properans, ſtatímque venit prope domum:

Jam autem caligo erat, obumbratæ ſunt autem omnes plateæ,
Et profundus veſper venit ſimul ferens noctem atram.

Sed ego bene obſervavi, mulier autem ei occurrebat,
Meretricis veſtem habens, in mente autem dolos verſabat.

(Clamoſa, obſtrepera, obfirmato animo, ſed pedibus
Vagatur, neque manet ſuum intra domum:
Diſcurrit autem huc & illuc, malo percita œſtro:

Nunc in triviis verſans, nunc in vicis,
Aliquando in angiportis, & angulis civitatis,
Ibi ſedet inſidians, abditiſſimus ubi eſt ſinus.);

Ut vidit, ut ei inſiliit, amicas manus circundans,
Adeóque tenuit obnixè,poſtquam ambabus (manibus)prehenderat
Oſculata autem eſt ejus complexa caput, caninos oculos habens,
Semper impudentiam induens, dixítque ſermonem:

Sunt mihi ſacrificia nunc,Deum quibus propitium reddidi,
Hodie perſolvi vota, quæ nuncupavi.

Quapropter tibi occurrens, tuíque gratiâ huc venio,
Nunc verò diligenter quærens, ſicubi invenerim,
Libenter te reperio, quandoquidem valde optatus veniſti.

Bene admodum ornavi lectum, & apparavi cubile,
Stragula ſternens, molléſque ſupra tapetas,
Sindonémque Ægyptiam, & ſtrata ſplendida.

Myrrham quidem, aloénque, & fragrantem cinamomum
Spirat lectus meus thalamo in odorato.

Sed eamus ad lectum, ſatiemur autem amore,
Et cubili dulci, & oblectemur in animo philtris
Totâ nocte, donec apparuerit roſeos-digitos-habens aurora.

19 Οὐ γὰρ ἔθ' ἡμέτερος μεταδήμιος, ᾤχετο δ' ἤδη
Ἄνδρας ἐπ' ἀλλοδαποὺς δολιχὴν ὁδὸν, ἀργαλέην τε·
20 Χρήματα δ' οἱ ἅλις ἐστὶν, ἅ, τ' ἔλλαβε χερσὶν ἀπελθὼν,
Οὐδ' ἀπονοστήσει, πρὶν ἂν ἤματα μακρὰ τελεσθῇ,
Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο.
21 Ὡς ἡ μὲν μαλακοῖσι παραιφαμένη ἐπέεσσι
Θέλγε, καὶ αἱμυλίοισι βιάζετό μιν φρένα μύθοις.
22 Βῆ δ' ἴμεναι προτέρη, ὁ δ' ἅμ' ἕσπετο, ἠΰτε ταῦρος
Βουτύπου ἐς μέσσαυλον, ὅ, τε σφάζειν μιν ἔμελλεν,
Ὥς τ' ἐπὶ χοίνικας καὶ δέσματα νήπιος αὔτως
Ἀνὴρ, οὐδ' ἐνόησεν, ὅ οἱ τισις ἐγγύθεν ἐστίν·
23 Ἕως ἂν οἱ ἐν βέλος ὀξὺ παγῇ, διὰ δ' ἧπαρ ἐλάσσῃ·
Ὄρνις θ' ὡς ὥρμησεν ἐπὶ παγίδα στονόεσσαν,
Νηπίη, οὐδὲ τόγ' οἶδεν, ὅ ἑ ψυχῆς κεκαδήσει.
24 Δεῦτέ μοι οὖν, ὦ παῖδες, ἐμῆς ἐπικέκλυτε φωνῆς,
Νοῦ δ' ἐμέθεν ξύνετ' ὦκα, λόγους δέ τε θέσθ' ἐνὶ θυμῷ.
25 Μήποτε σὴ κραδίη μεθ' ἑὰς κλίνῃσι κελεύθους,
Μηδ' ἐθέλῃς ἀλάλησθαι ἐν ἀτραπιτοῖσιν ἑῇσι.
26 Πολλοὶ γὰρ κέαται βεβλημένοι ἄνδρες ὑπ' αὐτῆς,
Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν.
27 Ἡ ὁδὸς εἰς ἀΐδαο, μάλ' ἐγγύθεν οἰκία ναίει,
Ῥεῖά τις ἔνθ' ἐπὶ δώματ' ἔβη μέλανος θανάτοιο.

ΚΕΦ. ή.

1 ΟΥ πινυτὴ μέγ' ἀΰσε; καὶ οὐ φρόνις ἴαχε φωνήν;
2 Στῆ δ' ὑπὲρ ἄνδρας βᾶσα, καὶ ὕψι μάλ' ἐν περιωπῇ,
Ἀμφαδὸν ἐν τριόδοισι, καὶ ἐν μέσσῃσι κελεύθοις.
3 Ἀμπόλιν, ᾗ πᾶσιν μεταδήμιός ἐστιν ἀταρπὸς,
Ἄστεος εἰνὶ πύλῃσι, καὶ ἐν προθύροισι μελάθρων,
Ἔνθα στᾶσ' ἤϋσε, διαπρύσιόν τε γέγωνεν.
4 Ἄνδρες ἐπιχθόνιοι, φωνὴν ἐγὼ ὔμμιν ἕηκα,
Φωνὴν ὔμμιν ἕηκα, βοήν τέ μευ υἱάσιν ἀνδρῶν.

Non enim adhuc noſter (vir)domi eſt, abiit autem jam
Viros ad alienigenas, longam viam & arduam :
Pecuniæ autem ei affatim ſunt, quas accepit manibus abiens,
Neque redibit priuſquam dies longi fuerint completi,
Hoc exeunte menſe, illo autem ineunte.
Sic illa mollibus alliciens verbis
Mulcet, & blandis cogit ejus mentem ſermonibus.
Ibat autem prior, ille autem uná ſequebatur, veluti taurus
Lanionis ad ſtabulum, qui & eum mactaturus eſt,
Velutíq; ad cippos, & vincula ſtultus nequicquam
Homo, neq; ſentit quòd ei ſupplicium propè eſt:
Donec ei ſagitta acuta infixa fuerit, & jecur penetraverit,
Et ſicuti avis ruit in laqueum funeſtum,
Stolida, neque hoc novit, quòd eum animâ privabit.
Adeſte igitur, ô filii, meam audite vocem,
Nunc autem mihi attendite citò, ſermonésq; ponite in animo.
Nè unquam tuum cor ad ejus inclinet vias,
Nolíque vagari in ſemitis ejus.
Multi enim jacent vulnerati viri ab illa,
Multas autem fortes animas ad inferos demiſit.
Ubi via ad infernum, propè admodum habitat,
Facilè quis ibi ad cubicula deſcendit atræ mortis.

CAP. VIII.

Nonne ſapientia altè clamavit? & nonne prudentia edit vocem?
Stat autem ſuprâ homines ubi aſcenderit, & excelſè admodum in ſpecula,
Palàm in triviis, & in mediis ſemitis:
In civitate, ubi omnibus publica eſt via,
Urbis in portis, & in veſtibulis domorum,
Ibi ſtans vociferatur, & intensè clamat.
Viri terreſtres, vocem ego ad vos mitto,
Vocem ad vos mitto, & clamorem meam ad filios hominum.

Ah

5 Ἄδηλοι, πινυτὴν ξύνετε φρεσὶν, ἠδὲ νοεῖτε·
Ὑμεῖς δ᾽ αὖ πέπνυσθε, χαλίφρονες ἀνέρες αὔτως.
6 Κλῦτέ μευ, οὕνεκ᾽ ἄριστα μεθ᾽ ὑμῖν πάντ᾽ ἀγορεύσω,
Καί μευ ἀπὸ γλώσσης ἰθύντατα μήδεα ῥεύσει·
7 Τὸ στόμα μευ ἀναφανδὸν ἀληθείην καταλέξει,
Ἄτην τ᾽ ἀμπλακίην τε τὰ χείλεά μευ στυγέουσι.
8 Πάντ᾽ ἔπεα στόματός μευ ἅμ᾽ ἐσθλὰ δίκαιά τ᾽ ἔασιν,
Οὐδὲ διεστράφαται, σκολιὸς δέ τε οὐκ ἔνι μῦθος.
9 Ἦ μάλα πάντ᾽ ἀείδηλα νοήμονι φωτὶ γίνονται,
Αἴσιμα πᾶσι πέλονται, ὅσοι φρένας ἔλλαχον ἐσθλάς.
10 Ἀλλὰ πίθεσθε καὶ ὕμμες ἐφημοσύνῃσιν ἐμῇσι,
Μᾶλλον τάς τε δέχεσθ᾽ ἢ ἀργυρείοιο τάλαντα,
Ἰδρείην χρυσοῦ τ᾽ ἐριτίμου πρόσθεν ἕλεσθε.
11 Πουλυτελῶν μὲν γάρ τε λίθων φρόνις ἐστὶν ἀμείνων,
Οὐδέν οἱ ἰσοφαρίζοι, ὅσων βροτοὶ ἱμείρονται,
Οὐδ᾽ ἔθεν ἄξιον εἴη ὅ, τις φρεσὶν ᾗσι μενοινᾷ·
Ὡς πάντων πέρι τ᾽ ἐστὶ, καί οἱ κτέρας οὐδὲν ὅμοιον.
12 Ναίω ἐγὼ πινυτὴ ἅμ᾽ ἐυφροσύνῃ ἐρατεινῇ·
Κέρδεά τ᾽ εὑρίσκω, καὶ μήδεα πυκνὰ διδάσκω.
13 Δεῖμα Θεοῦ, κακοῦ ἔχθος· ἀγηνορίη τε καὶ ὕβρεις,
Ἠδὲ σχέτλια ἔργα ὑπερφιάλων ἀνθρώπων,
Γλῶσσά θ᾽ ἅμα σκολιή· τάδε γ᾽ ἐχθρά μοί εἰσιν ἅπαντα.
14 Μούνῃ μοὶ πάρα μὲν μῆτις, πάρα τε φρένες ἐσθλαί·
Εἰμὶ δ᾽ ἐγὼ πινυτὴ, καὶ μοὶ σθένος οὐκ ἀλαπαδνόν.
15 Σκηπτοῦχοι βασιλῆες ἐμεῦ διὰ κοιρανέουσιν,
Ἠδὲ δίκας κρίνουσιν ἐμεῦ ἰότητι μέδοντες.
16 Φραδμοσύνῃσιν ἐμῇς εὐρυκρείοντες ἄνακτες
Πάντες σκῆπτρον ἔχουσι, καὶ ὄρχαμοι, οἵ τε θέμιστας
Ἐξ ἐμεῦ εἰρύαται, βουληφόροι ἀνέρες αἰῆς.
17 Τοὺς ἐμὲ μὲν φιλέοντας ἐγὼ περὶ κῆρι φίλησα,
Πρωῒ τέ με σπουδῇ διζήμενοι εὑρήσουσι.
18 Πλοῦτος καὶ τιμὴ παρ᾽ ἐμοὶ, καὶ χρήματα πολλὰ,

Ἔμπε-

Ah miſeri, prudentiam percipite mente, & intelligite:
Vos etiam ſapite, ſtolidi viri nequicquam.
Audite me, quoniam optima inter vos omnia dicam,
Et mea à lingua rectiſſima conſilia fluent:
Os meum apertè veritatem enunciabit,
Noxámque & iniquitatem labia mea oderunt.
Omnia verba oris mei bona juſtáque ſunt,
Nec ſunt perverſa, neque pravus illi ineſt ſermo.
Certè omnia valdè manifeſta intelligenti viro fiunt,
Proba omnibus ſunt, quotquot mentem ſortiti ſunt bonam.
Sed obtemperate & vos mandatis meis,
Magìs autem hæc accipite, quàm argenti talenta,
Scientiámque auro pretioſo præferte.
Pretioſis enim lapidibus prudentia eſt præſtantior,
Nihil ei æquivalet eorum, quæ mortales cupiunt,
Neque ei par eſt, quicquid aliquis mente ſua appetit:
Adeò omnes res excellit, & ei poſſeſſio nulla ſimilis.
Habito ego Sapientia unà cum prudentia amabili:
Sagacitatémque invenio, & conſilia ſolertia doceo.
Timor Dei (eſt) mali odium: ſuperbia autem & violentia,
Et ſceleſta opera inſolentium hominum,
Linguáque ſimul perverſa: hæc inviſa mihi ſunt omnia.
Soli mihi adeſt conſilium & prudentia:
Sum autem ego ſapientia, & mihi robur eſt non infirmum.
Sceptrigeri reges, per me regnant,
Et jura decernunt meo inſtinctu principes.
Conſilio meo latè-imperantes reges
Omnes ſceptrum tenent, & principes, & qui leges
Ex me tuentur, conſiliarii viri terræ.
Eos qui me amant, ego animitus amo,
Et manè me diligenter quærentes invenient.
Opulentia & honor apud me, & divitiæ multæ,

Ἔμπεδα χρήματ' ἔασι, δίκη δ' ἅμα τοῖσιν ὀπηδεῖ.
19 Καρπὸς ἐμὸς χρυσοῦ κρείσσων, χρυσοῦ ἐριτίμου,
Ὀβρύζου, κέρδος τ' ἐμὸν ἀργύρου ἐξαίτοιο.
20 Εὐνομίης ἰθεῖαν ἐγὼ ὁδὸν ἡγεμονεύω,
Εὐδικίης μέσσῃσιν ἐνὶ στείχουσα κελεύθοις.
21 Κλῆρον ὅπως βίοτόν τε πολλὼν, καὶ κτήματ' ὀπάσσω
Ἀνδράσιν, οἵ με φιλοῦσι, δόμους τ' ἐμπλήσω ἑάων.
22 Κτησάμενός με Θεὸς πάλαι ἧς ὁδοῦ εἶχεν ἐν ἀρχῇ,
Πρὶν τεῦξαι τὰ ἃ ἔργα, πάρος τ' αἰῶνα γενέσθαι.
23 Αἰὲν ἀπ' ἀρχῆθεν, πρό τε πασάων γενεάων
Ἱδρύνθην, πρὶν γαῖαν ἀθέσφατον ἐστηρῖχθαι.
24 Ἦ ῥα πολὺ πρῶτον γέγονα, πρὶν βένθεά τ' εἶναι,
Βένθεά τ' εὐρύστερνα, καὶ ὑγρὰ θέμεθλα θαλάσσης,
Καὶ πηγὰς ποταμῶν, καὶ φρείατα καλλιρέεθρα.
25 Φημὶ δ' ἐγὼ βουνῶν πρεσβυτέρη ἔμμεναι ἄκρων,
Πετρέων τ' ἠλιβάτων· πρὶν οὔρεα μακρὰ τετύχθαι
Ῥίζῃσι χθονίῃσιν ἀρηρότα, φημὶ γενέσθαι·
26 Ὄφρ' ἔτι μὲν χάος ἔσκε, καὶ οὔπω γαῖαν ἔτευξεν,
Οὐδέ τι λειμῶνας, καὶ πίσεα ποιήεντα,
Οὐδέ πω ἀρχέγονον κονίην χθονὸς εὐρυοδείης.
27 Πὰρ δ' ἔστην καὶ ἔγωγε, ὅτ' οὐρανὸν αἰγλήεντα
Ἄστρασι ποικίλλων τεχνήσατο, βένθεά τ' ἄκρα
Ξέσσεν ἐπισταμένως, καὶ ὑπεὶρ ἅλα κύκλον ἔθηκε,
Κύκλον ὑπεὶρ ἅλα θῆκε περίτροχον αἰθέρα δῖον,
Ὃς πάντῃ περὶ πόντον ἀπείριτον ἐστεφάνωτο.
28 Ὄφρα θ' ὑπουράνια στῆσεν νέφεα σκιόεντα,
Ὕψι μάλα κρεμάσας, πηγάς θ' ἁλὸς ἀτρυγέτοιο,
Βένθεά τ' εὖ κάρτυνε, καὶ ἐρρίζωσεν ἔνερθεν.
29 Ὄφρ' ἁλὶ πείρατ' ἔπηξε, καὶ ὕδασι θεσμὸν ἔδωκε,
Μή ποθ' ὑπερβαίνοντα δίκην ληθοίατ' ἐφετμέων
Κύμασι θαρσαλέοις, μινύθοι δέ τε ἔργ' ἀνθρώπων·
Ὄφρα τ' ἀπειρεσίης ἔστησε θεμείλια γαίης·

Firmæ divitiæ ſunt, juſtitia autem eas unà comitatur.
Fructus meus auro præſtantior, auro pretioſo,
Obryzo, lucrúmq; meum argento eximio.
Æquitatis viam ego rectam præeo,
Juſtitiæ mediis ambulans in ſemitis.
Ut hæreditatem ſubſtantiámq; multam, & poſſeſſiones præbeam
Hominibus, qui me amant, domos autem repleam bonis.
Poſſidens me Deus olim ſuæ viæ habebat in principio,
Priuſquam faceret ſua opera, & priuſquam ſeculum fieret.
Semper à principio, & ante omnes generationes
Erecta fui, priuſquam terra ingens ſtabiliretur.
Certè longè primùm procreabar, antequam & abyſſi eſſent,
Abyſſi latos-ſinus-habentes, & humida fundamenta maris,
Et fontes fluviorum, & ſcaturigines pulchri-fluæ.
Dico autem me jugis antiquiorem eſſe ſummis,
Petríſque excelſis: antequam montes longi fabricati eſſent
Radicibus terrenis compacti, dico me genitam fuiſſe:
Cùm adhuc chaos eſſet, & nondum terram fabricâſſet,
Neque arva, & prata herboſa,
Neque adhuc primigenium pulverem terræ latæ
Adſtabam autem & ego, quando cœlum ſplendidum
Stellis exornans artificioſè-fecit, & abyſſos in-ſuperficie
Polivit ſcienter, & ſuper mare circulum poſuit,
Circulum ſuper mare poſuit orbicularem ætherem divinum,
Qui undique pontum vaſtum circumambit.
Et quando ſub cœlo conſtituit nubes umbroſas,
In ſublimi admodum ſuſpendens, fontéſque maris ſterilis,
Et abyſſos bene roboravit, & radicavit ſubtus.
Quando mari limites fixit, & aquis legem dedit,
Nè unquam tranſgredientes jus, obliviſcerentur mandata
Fluctibus audacibus, minuerentur autem opera hominum:
Et quando immenſæ ſtatuit fundamina terræ.

30 Τόφρα πάρεδρος ἐγὼν ὡς σύντροφος ἡλικιῶτις,
Χάρμα δ' οἱ ἦν, ὃ δέ μοι τέρφθη φρένας ἤματα πάντα,
Ἄντα δ' ἔθεν καὶ ἔγωγε, καὶ ἔνδοθι θυμὸν ἰάνθην·
31 Πολλὰ δ' ἐῇ ἐνὶ γαίῃ ἀγαλλομένη φρέν' ἐτέρφθην,
Ἣ βροτοὶ οἰκία ναῖον ἐπὶ χθονὶ πουλυβοτείρῃ,
Χάρμα τέ μοι καὶ ἄθυρμα μετ' ἀνδρῶν ἦε γενέθλῃ.
32 Κλῦτέ μευ οὖν, φίλα τέκνα, καὶ εὖ φράζεσθ' ἐνὶ θυμῷ,
Νῦν δὲ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον·
Οἳ γὰρ ἐμὰς ἐφύλαξαν ἀταρπούς, ὄλβιοί εἰσι.
33 Κλίνατε δ' οὔατα νῦν ὑποθημοσύνῃσιν ἐμῇσι,
Καὶ πεπνυμένοι ἔστ', ἰδὲ μὴ ἀθερίζετε βουλήν.
34 Τρὶς μάκαρ οὗτος ἀνὴρ καὶ τετράκις, ὅς μευ ἀκούει,
Ἐν προθύροισιν ἐμοῖς ποτιδέγμενος ἤματα πάντα,
Μίμνων τ' ἐν προδόμῳ, καὶ ἐμῇσι φλιῇσι παραστάς.
35 Ζωὴ γὰρ παρ' ἐμοί· εὑρὼν δέ με καὶ βίον εὗρε,
Καὶ ὁ Θεὸς τιμήσει, ἐπεὶ κεχαρισμένος ἔσται.
36 Αὐτὰρ ὅ κέν μ' ἀλίτηται, ἑὸν δηλήσατο θυμόν·
Καί μ' ἐχθαίροντες θάνατον καὶ κῆρα φιλεῦσιν.

ΚΕΦ. θ'.

1 Ἡ Φρόνις οἶκον ἔδειμε, καὶ ἔξεσε κίονας ἑπτά·
2 Ἴφια μῆλ' ἔσφαξε, κέρασσε δὲ αἴθοπα οἶνον,
Καὶ ὡπλίσσατο δόρπον, ἐύν τ' ἐτάνυσσε τράπεζαν,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
3 Ἀμφιπόλους προέηκεν ἑὰς ἐπὶ δαῖτα καλέσσαι
Δαιτυμόνας· στῆ δ' αὐτὴ ἐν ἀκροτάτοισι πόληος,
Ἤϋσέν τε διαπρύσιον, καὶ μῦθον ἔειπεν·
4 Ὅς φρεσὶ νήπιός ἐστιν ἐν ἀνδράσιν, ὧδε παρέλθοι·
Ἄφρονα δ' ὅν κε νοήσῃ, ἐϋφρονέουσα προσηύδα·
5 Δεῦρ' ἄγ' ἰών, ὦ ξεῖνε, πρὸς ἡμέτερόνδε δόμονδε,
Σῖτόν τ' ἀσπασίως ἐμὸν ἔσθιε, πῖνέ τε οἶνον,
Τῇ, πίε, ἄλλα πέπον, τὸν ὀπάζω σοι κεράσασα.

6 Λεῖπ'

Tunc aſſeſtrix ego, tanquam connutrita, coæva,
Voluptáſque ei fui, ille autem me delectabatur in animo omnibus (diebus,
Coram autem illo & ego, & intus animo lætabar:

Multùm autem ejus in terra exultans mente gaudebam,
Ubi mortales domos habitabant in terra alma,
Gaudiúmq; mihi,& oblectamentum cum hominum fuit generatione.

Audite me igitur, chari filii, & bene perpendite animo,
Nunc autem parete & vos, quoniam parere melius eſt:
Qui enim meas cuſtodiunt ſemitas, beati ſunt.

Inclinate autem aures monitis meis,
Et ſapientes eſtote, & nè contemnite conſilium.

Ter beatus hic vir, & quater, qui me audit,
In veſtibulo meo expectans diebus omnibus,
Manénſque in porticu, & mearum valvarum poſtibus adſtans.

Vita enim apud me: me autem inveniens, vitam invenit,
Et eum Deus honorabit, quandoquidem acceptus (illi) erit.

Sed qui in me peccat, ſuam lædit animam:
Et qui me oderunt, mortem, & fatum amant.

CAP. IX.

Sapientia domum ſuam ædificavit, & excîdit columnas ſeptem.
Pinguia pecora mactavit, miſcuit autem rubrum vinum,
Et apparavit cœnam, ſuámque extendit menſam,
Edulia multa appoſuit, gratificans de præſentibus.

Famulas miſit ſuas ad convivium vocare
Convivas: ſtat verò ipſa in ſummis partibus civitatis,
Clamátque extenſâ voce, & verbum dicit:

Qui menre ſtolidus eſt inter homines, huc accedat:
Inſipientem autem quem animadverterit, rectè-ſapiens (eum) allo-(quitur.

Huc age adveniens, ô hoſpes, ad noſtram domum,
Cibúmq; jucundè meum ede, & bibe vinum,
Cape,bibe, amice ſuaviſſime, quod prabeo tibi poſtquā miſcuerim.

6 Λεῖπ' ἀνόους, δηρόν τε βέῃ, μηδέ σφιν ὁμίλει,
Στεῖβε δ' ὁδὸν πινυτῆς, φρένιός τε μετ' ἴχνια βαῖνε.
7 Λώβην οἱ γέρας ἐστ', ὃς ἐνείκασε λωβητῆρα,
Ὅς τ' ἐνένιπτεν ἀλιτρὸν, οἱ αὐτῷ μῶμον ἔχευεν.
8 Ἐμπαίκτην μὴ ἔλεγχ', ἵνα μή τοι ἐχθοδοπίσῃ·
Νείκεε δ' αὖ πινυτὸν, φιλέει δέ σε κηρόθι μᾶλλον.
9 Εὖ ὑπόθευ πινυτῷ, ἔπι δὲ φρεσὶ φέρτερος ἔσται·
Ἄνδρα δίδασκε δίκαιον, ὁ δ' ἰδρείην κεν ὀφέλλοι.
10 Ἀρχὴ μὲν σοφίης πέλεται φόβος Ἀθανάτοιο·
Ἡ δέ τ' ἐχεφροσύνη τὸν Ἀκήρατόν ἐστι γινώσκειν.
11 Καὶ γὰρ ἐμεῦ ἰότητι περιπλομένων ἐνιαυτῶν,
Ἤματα πολλὰ βίου, μακρὴ δέ τοι ἔσσεται αἰών.
12 Εἰ μὲν πέπνυσαι, τόδε τοι καὶ κέρδιον ἔσται·
Εἰ δ' αὖ μὴ φρονέεις, κατὰ δὲ φρονέεις ἐνὶ θυμῷ,
Αὐτῷ σοι μετόπισθ' ἄχος ἔσσεται, οὐδέ τι ἄλλῳ.
13 Ἀφραίνουσα γυνὴ πέλει ἄβρομος, αὐΐαχός τε·
Νηπίη, οὐδέ τι οἶδεν ἐνὶ φρεσὶν, οὐδ' ἐνόησεν.
14 Ἧσται γάρ ῥ' ἀναφανδὸν ἐνὶ προθύροισιν ἑοῖσιν,
Ἐν κλισμῷ δὲ καθίζει, ἐπ' ἀκροτάτοισι πόληος·
15 Ξείνους ὄφρα καλέσσῃ, ὁδῷ ἔνι ἰθὺ κιόντας,
Αἱμυλίοισι λόγοισι παραπλάζουσα κελεύθου.
16 Ὅς φρεσὶ νήπιός ἐστι, καὶ οὐ πεπνυμένα εἰδὼς,
Δεῦρ' ἴτω ἡμέτερόνδε, παρὲξ ὁδοῦ ἴχνια κλίνων.
Τῷ τε χαλίφρονι φωτὶ παραβλήδην ἀγορεύει.
17 Ὅ, τι πιών τις ἔκλεψε, πέλει γλυκερώτερον ὕδωρ,
Ἄρτος θ' ὅς τε κρυφηδὸν ἐδήδοται, ἐστὶ μάλ' ἡδύς.
18 Ἀλλ' ὅδ' ἀνὴρ οὐκ οἶδεν ὅτ' αὐτόθι εἰσὶ καμόντες,
Τῆς δὲ ξεῖνοι ἔνερθε, καὶ εἰν ἀΐδαο βερέθροις.

ΚΕΦ. ι'.

1 Αἶνοι τοῦ Σολομῶντος ἀγακλειτοῦ βασιλῆος·
Χάρμα πατρὸς παῖς ἐσθλός· ὁ δ' ἄφρων μητρὸς ἀνί

Μ

Relinque fatuos, diúque vives, neque cum illis converſare :
Calca autem viam ſapientiæ, prudentiæque poſt veſtigia incede.

Probrum ei præmium eſt, qui objurgat deriſorem,
Quique increpat improbum, ſibi ipſi labem affundit.

Irriſorem nè reprehende, ut nè te odio-habeat :
Objurga autem è contra ſapientem, amat te autem corde magis.

Rectè admone ſapientem, adhuc autem mente melior erit:
Virum doce juſtum, hic autem ſcientiam augebit.

Principium ſapientiæ eſt timor Immortalis.
Prudentia autem eſt (Sanctum illum &) Integrum cognoſcere.

Etenim meo arbitrio volventibus annis,
Dies multi vitæ, longum autem tibi erit ævum.

Siquidem ſapiens ſis, hoc è re tuâ fuerit :
Si autem non ſapis, ſed contemnis in animo,
Ipſi tibi in poſterum dolor erit, nec alii cuiquam.

Inſipiens mulier eſt obſtrepera, & clamoſa:
Stulta, neque quidquam novit in mente nec intelligit.

Sedet enim palàm in veſtibulo ſuo,
In cathedra autem ſedet, in ſummis-partibus urbis,

Peregrinos ut vocet, in via recta progredientes,
Blandis ſermonibus ſeducens à tramite:

Qui animo ſtolidus eſt, & non res prudentes ſciens,
Huc accedat noſtram ad domum, è via greſſus flectens:
Et inſipientem hominem vafrè alloquitur:

Quam bibens quis furatur, eſt dulcior aqua,
Paníſque qui clàm editur, eſt valdè jucundus.

Sed hic homo ignorat quod ibi ſunt mortui,
Ejus autem hoſpites ſubtùs ſunt, & in inferni barathro.

CAP. X.

PRoverbia Solomonis, inclyti regis.
Gaudium patris eſt filius bonus: ſtultus autem matris mœror.

2 Μὴ πλουτεῖν ἀδίκως· κακὰ κέρδεα ἶσ' ἄτῃσι,
Πλοῦτός θ' ὑβριστέων ἀχρήϊος, οὐδ' ὀνίνησι
Κρήματα τόσσ' ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω·
Ἥ τε δίκη θανάτοιο δυσηχέος ἐξανέλυσε.
3 Λιμῷ ὑποθνήσκειν Θεὸς οὐκ εἴασε δικαίους·
Δυσσεβέων δ' ἀνδρῶν βίοτον προθέλυμνον ὄλεσσε.
4 Πτωχεύειν οἱ ἀνάγκη, ὅου χεὶρ ἐστὶ μεθύμων·
Ἔργα δ' ὃς εὖ κομέει, ἄφενος μέγα χερσὶν ὀφέλλει.
5 Ὅσπερ ἄγειρε θέρους, υἱὸς σοφός· ὃς δὲ καθεύδει
Ὥρῃ ἐν ἀμήτου, ὅδ' ἐλέγχεα θῆκε τοκεῦσι.
6 Πολλαὶ ἐπ' εὐσεβέων χάριτες πίπτουσι κάρηνα·
Ὕβρις δ' ἀργαλέη στόμ' ἀλειτέων ἀμφεκάλυψεν.
7 Εὐσεβέων μνήμη μακαρίζεται· οὔνομ' ἀλειτέων
Πύθεται, αἰσχρόν τ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι.
8 Δέξετ' ἐφημοσύνας πινυτὸς φρεσίν· αἶψα δ' ὀλεῖται
Ἄφρων, ὃς μάλα, πολλὰ καὶ οὐ πεπνυμένα βάζει.
9 Ἀσφαλέεσσι πόδεσσι, κί' ἀνήρ, ὅσπερ ὁδεύει
Ἴχνεσιν ἰθυπόροισι, καὶ εὐδικίῃσι νόοιο·
Ὃς δέ τ' ἀτασθαλίης σκολιὰς ἐπάτησε κελεύθους,
Λοξοβάτης, γνωτός τ' ἔσεται καὶ ἐπόψιος ἄλλων.
10 Ὃς μύει ὀφθαλμόν, πόλλ' ἀνδράσιν ἄλγε' ἔθηκεν·
Ὃς δέ τ' ἀμετροεπὴς καὶ νήπιος, αἶψα πεσεῖται.
11 Πηγὴ μὲν βιότου στόμ' ἀμύμονος ἀνέρος ἐστί,
Τοῦ καὶ ἀπὸ γλώσσης φυσίζοον ἔῤῥεεν ὕδωρ·
Ὕβρις δ' ἀργαλέη στόμ' ἀλειτέων ἀμφεκάλυψε.
12 Τίκτει θυμοβόρους ἔριδας καὶ νείκεα λυγρὰ
Ἔχθος ἐν ἀνθρώποισι· φιλοφροσύνη δ' ἐρατεινὴ
Κρύψεν ἀτασθαλίην, καὶ ἁμαρτάδα πᾶσαν ὄλεσσε.
13 Ῥεῖά κέ τις σοφίην πινυτοῦ ἐνὶ χείλεσιν εὕροι·
Ὧ δ' ἄνοος κραδίη, νώτῳ ἔπι ῥάβδος ἑτοίμη.
14 Ἰδρείην ταμίευσαν, ὅσοι πεπνυμένοι ἄνδρες,
Ἐν κραδίῃ· στόμα δ' ἠλιθίων σχεδόν ἐστιν ὀλέθρῳ.

Nè diteſcas injuſtè : mala lucra æqualia damnis,
Opéſque oppreſſorum inutiles, neque proſunt
Divitiæ tot raptæ, à Deo datæ multò meliores:
Et juſtitia à morte malè-ſonante liberat.

Fame perire Deus non patitur juſtos:
Impiorum autem hominum ſubſtantiam funditùs perdit.

Mendicare ei eſt neceſſe, cujus manus eſt remiſſa:
Opera autem qui benè curat, opes magnas manibus auget.

Qui congregat in æſtate, filius eſt ſapiens: qui autem dormit
Tempore meſſis, hic opprobria affert parentibus.

Multa in piorum gratiæ cadunt capita :
Violentia autem gravis os tranſgreſſorum tegit.

Piorum memoria benedicitur : nomen peccatorum
Putreſcit, turpéque eſt poſteris auditu.

Accipiet mandata ſapiens in mente : ſtatim autem peribit
Stultus, qui admodum multa, & non prudentia loquitur.

Tutis pedibus incedit vir, qui ambulat
Greſſibus directis, & in rectitudine mentis :
Qui autem nequitiæ tortuoſas calcat ſemitas,
Obliquè -iens, notúſque erit, & aſpectabilis aliis.

Qui nictat oculo, multos hominibus dolores affert :
Qui autem garrulus (eſt) & ſtultus, ſtatim cadet.

Fons vitæ os integri viri eſt,
Ejúſque à lingua vitalis fluit aqua :
Violentia autem gravis os tranſgreſſorum tegit.

Parit animum-rodentes lites, & contentiones graves
Odium inter-homines : amicitia autem amabilis
Tegit improbitatem, & peccatum omne perdit.

Facilè quis ſapientiam prudentis in labiis inveniet :
Cui autem inſipiens cor, (ejus) tergo virga parata eſt.

Scientiam recondunt, quicunque viri prudentes ſunt,
In corde : os autem fatuorum propè eſt ad interitum.

15 Ἀνέρος ἀφνειοῦ ὀχυρὴ πόλις ἔπλετο πλοῦτος·
Πτωχῶν δ' οὐλομένη πενίη θανατηφόρος ἐστί.
16 Αἰεὶ μὲν κάματος βιοτήσιός ἐστι δικαίων·
Δυσσεβέων δέ τε καρπὸς ἀτασθαλίῃσιν ὀπηδεῖ.
17 Ζωῆς οἶμον ὅδευσεν, ὃς εὖ εἰπόντι πίθηται·
Ὃς δέ τ' ἔλεγξιν ἀναίνηται, ὅδε πλαγκτὸς ἐτύχθη·
18 Ὅς τε ψευδαλέοις ὑπὸ χείλεσιν ἔχθος ἔκευσεν,
Αἱμύλα κωτίλλων, κακὰ δὲ φρεσὶ βυσσοδομεύων,
Ὅς δέ τ' ὄνειδος ἔβαζε, παρήοροι ἀνέρες ἄμφω.
19 Ὅστις ἀμετροεπὴς, ὅδ' ἁμαρτοεπής τε τέτυκται,
Πολλοῖσιν γὰρ ἔπεσσιν ἀλιτροσύνη ἔνι πολλή·
Κεῖνος δ' αὖ πέπνυται, ὃς ἰσχάνει ἕρκος ὀδόντων.
20 Γλώσσης μὲν θησαυρὸς ἐν εὐσεβέεσσιν ἄριστος,
Ἄργυρος ὥς, πλείστη δὲ χάρις, τιμή τε μεγίστη·
Δυσσεβέων δ' ἀνδρῶν κραδίη τίνος ἀξίη ἐστί;
21 Πολλοὺς ποιμαίνουσι δικαίων χείλεα φωτῶν,
Καὶ γὰρ ἀπὸ γλώσσης θρεψήνορα γῆρας ἵκουσιν·
Ἄφρονες αὖ θνήσκουσι χαλιφροσύνῃσι νόοιο.
22 Δῶρα Θεοῦ πέλεται τὰ χρήματα, τοῦ γὰρ ἔκητι
Εὖ ζώουσι βροτοί, ὁ δέ τ' οὐχ ἅμα πένθος ἔθηκεν.
23 Ὡς ὅτε παῖς ποίησεν ἀθύρματα νηπιέῃσιν,
Ὣς ἄφρων κάκ' ἔοργε· σοφὸς δ' εὖ οἶδε νοῆσαι.
24 Ῥεῖα κιχήσετ' ἀλιτρὸν, ὃ ἐν φρεσὶ δείδιε λίην·
Ἀνέρος αὖ τ' ἐσθλοῦ τετελεσμένον ἔσσετ' ἐέλδωρ.
25 Ῥίμφα μάλ' ὥστε θύελλα παρέρχεται, οὐκέτι δ' ἐστὶ
Φαῦλος ἀνήρ· ἀγαθὸς δὲ θεμείλιον ἀσφαλὲς αἰεί.
26 Οἷα γὰρ ὄξος ὀδοῦσι, καὶ ὄμμασι καπνὸς ἀμαυρός·
Ἄγγελος ὣς νωθὴς πέλει ἀνδράσιν, οἵ μιν ἔπεμψαν.
27 Ἀθανάτοιο φόβος μακρὴν αἰῶνα τίθησι·
Δυσσεβέων δ' ὀλίγος τε βίος, παῦροί τ' ἐνιαυτοί.
28 Ἐλπωρὴ ἀγαθῶν, ὅ, τι κεν ποτιδέγμενοι εἶεν,
Ἔσται σφιν μέγα χάρμα· κακῶν δέ τε ἐλπὶς ὀλεῖται.

29 Ἰθυνο-

Viri divitis munita civitas ſunt divitiæ :
Pauperi autem pernicioſa paupertas lethifera eſt.
Semper labor vitalis eſt juſtorum:
Impiorum autem fructus nequitiam comitatur.
Viæ vitam ingreditur, qui bene loquenti obtemperat:
Qui autem reprehenſionem recuſat, hic erro evadit.
Quique mendacibus ſub labiis odium occultat,
Blandè garriens, mala autem in mente intùs machinans,
Quique opprobrium loquitur, ſtolidi viri (ſunt) ambo.
Qui in-ſermone multus, hic in ſermone peccans eſt,
Multis enim verbis tranſgreſſio ineſt multa :
Is autem è contrà ſapit, qui cohibet ſeptum dentium.
Linguæ theſaurus in piis optimus,
Sicut argentum, plurima autem gratia, honórque maximus:
Impiorum autem hominum cor quid valet ?
Multos paſcunt juſtorum labia virorum,
Etenim à lingua almam vocem mittunt.
Stulti autem è contra moriuntur inſipientiâ mentis.
Dona Dei ſunt opes, hujus enim voluntate
Proſperè vivunt mortales, hic autem non ſimul dolorem addit.
Sicut quando puer facit ludicra præ imprudentia,
Sic ſtultus malè agit : ſapiens autem bene novit intelligere.
Facilè inveniet peccatorem, quod in mente metuit valdè:
Viri è contrà boni perfectum erit deſiderium.
Celeriter admodum veluti procella tranſit, & non amplius eſt
Malus homo: bonus autem fundamentum firmum ſemper.
Veluti acetum dentibus, & oculis fumus obſcurus:
Nuncius ſic tardus eſt hominibus ,qui eum miſerunt.
Immortalis (Dei) timor longam vitam facit:
Impiorum autem exiguáque vita, paucíque anni.
Spes improborum, quodcunque expectaverint,
Erit iis magnum gaudium: malorum autem ſpes peribit.

29 Ἰθυνόοισι Θεοῖο ὁδὸς μένος ἐστὶ καὶ ἀλκή·
Δυσσεβέεσσι δ', οἷς αἰὲν ἀήσυλα ἔργα μέμηλε,
Πήματί που κύρσουσι, κακὸς δέ τε ἵξετ' ὄλεθρος.
30 Αἰὲν ἀκίνητοι, μάλα τ' ἔμπεδοί εἰσι δίκαιοι·
Ἀλλ' οὐ δηρὸν ἀλεῖται ἐπὶ χθονὶ ναιετάουσιν.
31 Εὐσεβέων λαιμὸς τίκτει φρόνιν ἱμερόεσσαν·
Γλῶσσαν δὲ σκολιήν τις ἀποτμήξειε σιδήρῳ.
32 Ἐσθλῶν χείλεα οἶδεν ἑαδότα μῦθον ἐνισπεῖν,
Ἔβλυεν οὖν χαρίτεσσι· κακὸς δ' ἀποφώλια βάζει.
Στρεπτὴ δ' οἱ γλῶσσ' ἐστὶν, ἀταρτηροὶ δ' ἐνὶ μῦθοι.

ΚΕΦ. ιά.

1 Πλάστιγξ μὲν δολόεσσα Θεῷ στυγερωτάτη ἐστίν·
Ὃς δὲ δίκης ἔραται, τέρπει δέ μιν ἶσα τάλαντα.
2 Ὁππότ' ἀγηνορίη ἔλθῃ, ἅμα τ' ἔρχεται αἰδώς·
Μῆτις δέ σφιν ὀπηδεῖ, ὅσοι τ' ἀγανόφρονές εἰσιν.
3 Ἀνδράσιν ἰθυπόροις σφετέρη δίκη ἡγεμονεύσει·
Δυσσεβέες δὲ σφῇσιν ἀτασθαλίῃσιν ὀλεῦνται.
4 Χρήματα τί χραισμεῖ, ὅτε νηλεὲς ἦμαρ ἱκάνῃ;
Ἡ δ' ἀρετὴ πολλοῖσιν ἐπήρκεσε κῆρα μέλαιναν.
5 Ἀνέρος εὐδικίη τὰ ἃ ἴχνια ῥεῖα κυβερνᾷ
Ἰθυνόου· ὁ δ' ἀλιτρὸς ἑῇ κακότητι πεσεῖται.
6 Ἐσθλῶν εὐσεβίη σφέας ῥύσεται· αὐτὰρ ἀλεῖται
Ἁλόντες σφετέρῃσι κακορραφίῃσιν ὀλεῦνται.
7 Τεθνεῶτος κακοῦ ἀνδρὸς, ὅσπερ ποτιδέγμενος ἦε,
Κάτθαν' ὁμῶς· καὶ δυσσεβέων πᾶσ' ἐλπὶς ὄλωλεν.
8 Ἐσθλὸς ὑπ' ἐξ ἄτης ἀναδύεται, ἀντὶ δὲ κείνου
Φαῦλος ἀνὴρ ὑπέδεκτο, καὶ ἵστατο τοῦ ἐνὶ μοίρῃ.
9 Ὅστις ὕπουλος ἔῃ, γλώσσῃ ἀπόλεσσεν ἑταῖρον·
Ἐσθλὸς δ' αὖ σόος ἔσται ἐπιφροσύνῃσι νόοιο.
10 Χάρμα μέγ' ἐστὶ πόληϊ, ὅτ' εὐθενέωσι δίκαιοι·
Θεσπέσιος δ' ἀλαλαγμὸς, ὅτε φθινύθωσιν ἀλεῖται.
11 Ἐσθλῶν εὐλογίῃσι πόλις σύμπασα τέθηλε·

Δυσσεβέων

Rectè ambulantibus Dei via fortitudo eſt & robur;
Impii autem, quibus ſemper nefaria opera curæ-ſunt,
In damnum utique incident, & ad improbos perveniet exitium.
Semper immobiles, valdéque firmi ſunt juſti;
Sed non diu peccatores in terra habitant.
Piorum guttur parit ſapientiam deſiderabilem:
Linguam autem perverſam aliquis abſcindet ferro.
Bonorum labia nôrunt placentem ſermonem dicere,
Scatent igitur gratiis: malus autem inepta loquitur,
Perverſa autem lingua eſt, aſperi autem inſunt ſermones.

CAP. XI.

Bilanx doloſa Deo odioſiſſima eſt:
Ille autem juſtitiam amat, delectant autem eum æqua pondera
Cùm ſuperbia venerit, ſimul & venit ignominia:
Prudentia autem eos comitatur, quotquot mites ſunt.
Hominibus autem rectè incedentibus, ſua juſtitia viam præibit:
Impii autem ſuis ſceleribus peribunt.
Divitiæ quid proſunt, quando immitis dies venerit?
Virtus autem à multis propulſat mortem atram.
Viri æquitas ſua veſtigia facilè gubernat
Juſti: peccator autem ſuâ malitiâ peribit.
Bonorum pietas eos liberabit: ſed tranſgreſſores
Capti ſuis malis machinationibus peribunt.
Mortuo malo homine, quicquid expectavit,
Moritur ſimul: & impiorum omnis ſpes perit.
Bonus è calamitate emergit, & pro illo
Malus vir (eam) ſubit, & ſtat ejus in vice.
Qui diſſimulator eſt, linguâ perdit ſocium:
Bonus autem è contrà ſalvus erit ſapientiâ mentis.
Gaudium magnum eſt civitati, quando proſperè-agunt juſti:
Ingens autem jubilatio, quando pereunt improbi.
Bonorum benedictionibus urbs tota floret:

Δυσσεβέων δ' ἀνδρῶν γλώσσῃ περιθέλυμνος ὄλωλεν.
12 Ὅς φρεσὶ νήπιός ἐστ', ἑοῦ οὐκ ἀλέγιζεν ἑταίρου·
Ὅς δέ τε πέπνυται, σιγῇ ποτιδέγμενος ἧσται.
13 Ἀνὴρ σπερμολόγος κεκρυμμένα μήδεα φαίνει·
Ἔργα δ' ἐνὶ φρεσὶ κεύθει, οὗ νόος ἔπλετο πιστός.
14 Εἰ μὴ μῆτις ἔην, πόλις ὤλετο, πίπτε δὲ λαός·
Σώζετο δ', εἰ πολλοὶ συμφράδμονες ἄνδρες ἔασι.
15 Ξεῖνον ὃς ἐγγυόωτο, μέγ' οἱ κακὸν ἔσσετ' ὀπίσσω
Ἀντ' εὐεργεσίης, ὁ γὰρ ἔγγυος ἐγγύθεν ἄτης·
Ἀπενθὴς δὲ μάλ' ἐστίν, ᾧ οὐ φίλον ἐγγυάασθαι.
16 Ἐν τιμῇ χαρίεσσα γυνή, ὡς πότνια μήτηρ·
Καὶ μάλα καρτεροὶ ἄνδρες ἀθέσφατον ὄλβον ἔχουσιν.
17 Ἀνὴρ ἠπιόθυμος ἑὴν ψυχὴν ὀνίνησιν·
Ὅς δέ τ' ἀπηνής ἐστ', ἑοῦ τ' αὐτοῦ σάρκας ἀμύσσει.
18 Φαῦλος ἀνὴρ δόλιον καὶ ἐπίκλοπον ἔργον ἔρεξεν·
Ὅς δὲ δίκην σπείρει, μισθός κέν οἱ ἔμπεδος εἴη.
19 Ὥστε ποτὶ ζωὴν ἀρετὴ ὁδὸν ἡγεμονεύει·
Ὡς κακὸν ὅς τ' ἐδίωξε, μόρον κατέμαρψε διώκων.
20 Ἔχθιστοι μὲν ἔασι Θεῷ σκολιόφρονες ἄνδρες·
Χάρμα δ' οἱ ἰθυπόροι, καὶ σφέας περὶ κῆρι φίλησεν.
21 Εἰ νύ περ ἀλλήλων ἐνὶ χείρεσι χεῖρας ἔχωσιν,
Οὐκ ἔτ' ἀθῷοι ἔσονται ἀτασθαλίης θεράποντες,
Οὐδέ τ' ἀτιμώρητοι, ἐπεὶ Θεὸς οἶδε δικάζειν·
Εὐσεβέων δὲ γένος ῥύσαιτό κεν ἐκ κακότητος.
22 Ὡς ὅτε χρύσεος ὅρμος ὑὸς ποτὶ ῥινὶ κάθηται·
Οὕτω καὶ καλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθυμος.
23 Ἀνδρῶν ἰθυνόων ἀγαθὸν μόνον ἐστὶν ἔελδωρ·
Δυσσεβέεσσι δὲ μῆνις ἐπὶ τομένοισιν ἐπῆλθεν.
24 Ὅς μὲν ἅλις σκεδάει, καὶ ὅμως ἑὸν οἶκον ὀφέλλει·
Ὅς δ' ὑπὲρ αἶσαν ἐρύκει, ὅμως χρειώ μιν ἱκάνει.
25 Πρόφρασσα ψυχὴ καὶ ἐναίσιμα δῶρα διδοῦσα,
Πιαλέη, λιπαρή τε γενήσεσθαι εὐλογίῃσιν·

Impiorum autem hominum linguâ radicitùs perit.

Qui mente ſtolidus eſt, ſuum non curat ſocium:
Qui autem ſapit, tacitè expectans ſedet.

Homo locuteleius arcana conſilia revelat:
Opera autem in mente celat, cujus mens eſt fidelis.

Niſi ſit conſilium, civitas perit, cadit autem populus:
Servatur autem, ſi multi conſiliarii viri ſunt.

Qui pro peregrino ſponſor eſt, magnum ei malum erit in-poſterum
Pro beneficio; ſponſor enim prope eſt ad damnum;
Tutus autem valde eſt, cui non libet ſponſorem eſſe.

In honore (eſt) gratioſa mulier, ceu veneranda mater:
Et valde fortes viri magnas divitias tenent.

Vir clemens ſuæ animæ prodeſt:
Qui verò crudelis eſt, ſuam ipſius carnem lacerat.

Improbus vir doloſum, & verſutum opus facit:
Qui autem juſtitiam ſeminat, merces ei firma erit.

Ut ad vitam virtus viam præit:
Sic & malum qui ſequitur, mortem aſſequitur perſequens.

Odioſiſſimi ſunt Deo perverſæ-mentis homines:
Voluptas autem ei rectè-incedentes, & eos animitùs diligit.

Etiamſi alter alterius in manibus manus teneant,
Non adhuc erunt inſontes nequitiæ famuli,
Neque etiam impuniti, quoniam Deus novit judicare:
Piorum autem genus (is) liberabit à malo.

Sicut quando aureum monile porci in naribus ſedet:
Sic & pulchra filia, ſed non prudens,

Virorum juſtorum bonum ſolummodo eſt deſiderium:
Impiis autem ira expectantibus ſupervenit.

Alius abunde diſſipat, & tamen ſuam ſubſtantiam auget:
Alius autem præter fas detinet, & tamen egeſtas eum invadit.

Prompta anima & quæ convenientia dona dat,
Pinguis, & renidens fiet benedictionibus:

Ὅς θ' ἕτερον δεύει ἐπιδεύεα, δεύσεται αὐτός.
26 Σχέτλιος, ὃς σῖτον λαοῦ ἄπο νόσφιν ἐρύκει,
Τῷ δὲ καταρῶνται πληθὺς πόλλ' ἄλγε' ὀπίσσω·
Ὅς δέ τε πιπράσκει, χάρις οἱ ἀνὰ δῆμον ἅπαντα
Ἔσσετ' ἐπὶ κρατὸς, πολλοὶ δέ μιν ἐσθλὸν ἔειπον.
27 Ὁ σπουδῇ ἀγαθὸν διζήμενος ἔμμορε τιμῆς·
Ὅς δὲ κακὸν ζήτησεν, ἐπίσπαστον κακὸν ἕξει.
28 Ὁ πλούτῳ πίσυνος, καὶ χρήμασιν οἷσι, πεσεῖται·
Ἀνθήσει δὲ δίκαιος ἐπηεράτῳ ἔρνεϊ ἶσος.
29 Οἶκον ἑὸν κυκόων, κλῆρον μεταμώλιον ἕξει,
Μοῖρα δὲ μαψαῦραι, ἄφρων δέ οἱ ἔσσετ' ἀήτης·
Ὅς τε παρήορος ᾖ, πεπνυμένου ἔσσεθ' ὑποδμώς.
30 Δένδρεον ἡδὺ βίοιο δικαίων ἔπλετο καρπός·
Ψυχὰς δ' ὃς ζώγρησεν, ὅδ' αὖ πεπνυμένος ἀνήρ.
31 Ὧνπερ ἔοργε, δίκαιος ἐπὶ χθονὶ τίσει ἀμοιβήν·
Ἦ ῥα νυ καὶ πολὺ μᾶλλον ἁμαρτίνοος καὶ ἀλείτης.

ΚΕΦ. ιβʹ.

1 ὍΣ διδαχὴν φιλέει, φιλέει φρόνιν ἱμερόεσσαν·
Κεῖνος δ' αὖ νενίηλος, ᾧ οὐ φίλος ἐστὶν ἔλεγχος.
2 Ὅς μέν τ' ἐσθλὸς ἔῃ, Θεός οἱ χάριν ἐγγυάλιξε·
Καδδὲ δίκην ἐρέει κακομηχάνου ἀνδρὸς ἀλείτεω.
3 Ἧσιν ἀτασθαλίῃσιν ἀνὴρ ἕδος οὐδέποθ' ἕξει
Ἀσφαλές· εὐσεβέων δὲ θεμείλιον ἀστυφέλικτον.
4 Κέδν' εἰδυῖα γυνὴ στέφανος πέλει ἀνδρὸς ἑοῖο·
Ἡ δέ μιν αἰσχύνει, φθόη ὣς, πάντ' ὀστέα σήπει.
5 Ἐσθλὰ μὲν ἰθυνόων καὶ ἀμύμονα μήδεά εἰσι·
Δυσσεβέων δὲ κακὴ βουλὴ, δολόεσσά τε μῆτις.
6 Μῦθοι ἁμαρτινόων ὀλοφώϊοι· ὡς γὰρ ἔειπον,
Ἐρχώμεσθα λόχονδε, φόνον καὶ κῆρα φυτεύειν·
Ἰθυνόων δὲ γλῶσσα κακοῦ σφέας ἐξαναλύσει.
7 Πρόχνυ, κακῶς, στυφέλιχθεν ἀτάσθαλοι, οὐδ' ἔτ' ἔασιν·

Ἀνδρῶν

Quique alium rigat indigentem, rigabitur ipſe.
Miſer, qui frumentum à populo ſeorſum detinet,
Huic autem imprecatur plebs multos dolores in poſterum:
Qui autem vendit, gratia ei apud omnem populum
Erit ſuper caput, multi autem de eo bonum dicunt.
Qui diligenter bonum quærit, ſortitur honorem:
Qui autem malum quærit, ultrò-accerſitum malum habebit.
Qui opibus fretus eſt, & diviciis ſuis, cadet:
Florebit autem juſtus pulchro germini ſimilis.
Qui domum ſuam perturbat, hæreditatem inanem habebit,
Sors autem auræ leves, ſubſtantia autem ei erit ventus.
Quique inſipiens fuerit, ſapientis erit famulus.
Arbor dulcis vitæ juſtorum eſt fructus:
Animas autem qui capit, ille etiam prudens vir.
Eorum, quæ fecit, juſtus in terra luet pœnam:
Certè multò magìs peccator, & tranſgreſſor.

CAP. XII.

Qui doctrinam amat, amat prudentiam amabilem:
Ille autem è contra inſipiens, cui non jucunda eſt reprehenſio
Qui probus eſt, Deus illi gratiam præbet:
Condemnat autem mala-machinantem hominem improbum.
Suâ nequitiâ vir ſedem nunquam habebit
Firmam: piorum autem fundamentum (erit) immotum.
Proba ſciens mulier corona eſt viri ſui:
Quæ autem eum dedecorat, tabes ceu, omnia oſſa putrefacit.
Bona juſtorum, & integra conſilia ſunt:
Impiorum autem malum conſilium, & doloſa conſultatio.
Sermones peccatorum ſunt exitiales: ſic enim dicunt,
Veniamus ad inſidias, ad cædem & fatum ſtruendum:
Juſtorum autem lingua à malo eos liberabit.
Funditùs malè diſturbati ſunt improbi, neque ampliùs ſunt:

Ἀνδρῶν δ' εὐσεβέων ἀτίνακτος στήσεται οἶκος.
8 Οἷον ἀνὴρ πέπνυται, ἐπαινήσουσί μιν ἄλλοι·
Τὸν δ' ἀθερίσουσι, σκολιόφρων ὅς κεν ἔῃσι.
9 Κρείσσων ὃς θεράποντος ἀτίμητός περ ἀνάσσει,
Ἢ βροτὸς, ὅς ῥ' αὐτὸν τιμᾷ σίτοιο χατίζων.
10 Ἐσθλὸς ἀνὴρ ψυχὴν οὗ κτήνεος ἐφράσατ' αὐτὸς,
Εὖ ἀλέγων, κομέων τ', ἐπεί οἱ νόος ἔστ' ἐλεήμων·
Σπλάγχνα δὲ δυσσεβέων ἀτέραμνα, καὶ οἶκτος ἀπηνὴς,
Αὐτῶν τε κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρής.
11 Νειὸν ἑὴν ἀρόων ἄρτου κεκορημένος ἔσται·
Ἄφρων δ', ὃς κενεοῖσι μετ' ἀνθρώποισιν ὁμαρτεῖ.
12 Φαῦλος ἀνὴρ ἀδίκων ποθέει λίνον· ἡ δὲ δικαίων
Ῥίζα τελεσφόρος ἐστὶ, καὶ ἡδὺν καρπὸν ἔνεικεν.
13 Ἧσιν ἀτασθαλίῃσι κακὸς βρόχῳ ἔμπεσε λυγρῷ
Λαβραγόρης, οἷόν μιν ἔπος φύγεν ἕρκος ὀδόντων.
Ὃς δὲ δίκαιος ἔῃ, ὑποδύσεται ἐκ κακότητος.
14 Γλώσσης ἀγαθῆς μέγα κέρδος, ἐπεὶ μάλ' ὀνήσεται ἀνὴρ
Εὐεπίῃσιν ἑῇσιν, ἅλις δέ οἱ ἔσσεθ' ἑάων·
Ἀνέρι δ' ὧν ἔργων ἀντάξιος ἔσσετ' ἀμοιβή.
15 Ἄφρων ἐστὶ δίκαιος ἐν ὀφθαλμοῖσιν ἑοῖσιν·
Ὃς δ' ἐπιπείθετο βουλῇ, ὅδε φρεσὶν ᾗσιν ἄρηρεν.
16 Αὐτίκ' ἀειγνώτη ἀεσίφρονος ἀνέρος ὀργή·
Ἀλλ' ἐκάλυψεν ὄνειδος, ὃς εὖ περὶ οἶδε νοῆσαι.
17 Ὃς νημερτέα εἶπε, δίκαιά τε πολλά τ' ἔδειξεν
Ἀμφαδά· μάρτυρος αὖ ψευδὴς ἀπατήλια βάζει.
18 Ὡς ὅτε τις ξίφος ὀξὺ διὰ στήθεσφιν ἐλάσσῃ,
Τοῖα τινῶν ἔπε' ἐστί· σοφῶν δέ τε γλῶσσ' ὑγίεια.
19 Χείλεα, τοῖς φίλον ἐστὶν ἀληθέα μυθήσασθαι,
Εἰς αἰῶνα μένει· ψευδὴς δέ τε γλῶσσα μίνυνθα.
20 Ἐν κραδίῃ δόλος ἐστὶν ἀτάσθαλα μητιοώντων·
Εἰρήνης δ' ἴδρις συμφράδμονας ἵκετο χάρμα.
21 Οὔ τις ἀμείλιχος αἶσα κιχήσεται ἄνδρα δίκαιον,

Ἀλλ'

Hominum autem piorum inconcuſſa ſtabit domus.

Prout homo ſapit, laudabunt eum alii :
Illum verò contemnent, qui perverſo-animo fuerit.

Melior, qui ſervo, inhonoratus licèt, imperat,
Quàm homo, qui ſeipſum honorat, cibo indigens.

Bonus vir animam ſui jumenti conſiderat ipſe,
Bene curans, alénſque, quandoquidem ei mens eſt miſericors.
Viſcera autem impiorum dura, & miſericordia crudelis,
Eorúmque cor ſecuris veluti eſt obfirmum.

Qui novale ſuum arat, pane ſaturatus erit :
Stultus autem (eſt,) qui vanos homines ſectatur.

Malus vir impiorum deſiderat rete : juſtorum autem
Radix fructifera eſt, & dulcem frugem fert.

Suâ improbitate malus in laqueum incidit funeſtum
Loquax, eò-quòd-tale ei verbum fugit ſeptum dentium:
Qui autem juſtus eſt, emerget ex ærumna.

Lingua bona magnum lucrum, quandoquidem magnam utilitatem capiet vir
Ex bono ſermone ſuo, ſatis autem ei erit bonorum :
Homini autem ſuis operibus par erit compenſatio.

Stultus eſt juſtus in oculis ſuis:
Qui autem obtemperat conſilio, ſapiens eſt.

Statim cognita (eſt) ſtolidi viri iracundia :
Sed tegit ignominiam, qui bene admodum novit intelligere.

Qui vera dicit, juſtáque multáque oſtendit
Palàm: teſtis è-contrà falſus doloſa loquitur.

Sicut quando quis gladium acutum per pectus adigit,
Talia nonnullorum verba ſunt: ſapientum autem lingua ſanitas.

Labia, quibus jucundum eſt vera edicere,
In ſeculum manent : falſa autem lingua pauliſper.

In corde dolus eſt nefaria molientium :
Pacis autem ſacræ conſiliarios advenit gaudium.

Nullum inclemens fatum apprehendet virum juſtum,

Ἀλλ' ὅγ' ἄτερ τε πόνου ἔσται, καὶ ὀϊζύος αἰνῆς·
Μέλλουσιν δέ τ' ἀλιτροὶ ἄδδην ἐλάαν κακότητος.
22 Χείλεα μὲν στυγέρ' ἐστὶ Θεῷ, ἃ ψεύδεα βάζει·
Τέρπετο δ', οἷσι μέμηλεν ἀληθείη χαρίεσσα.
23 Ἀνὴρ ἀγχίνοος πυκινὰ φρεσὶ μήδεα κεύθει·
Κῆρ δ' ἀνόων ἀντικρὺ χαλιφροσύνην ἀναφαίνει.
24 Χερσὶν ὃς ὀτραλέως σπεύδων τὰ ἃ ἔργα πονεῖται,
Σημανέει ἄλλοισι· φόρον δέ τε τίσει ἀεργός.
25 Πένθος ἐνὶ στήθεσσι κατηφέα θυμὸν ἔθηκεν
Ἀνέρος ἀχνυμένοιο· ἔπος δέ μιν ἐσθλὸν ἰαίνει.
26 Κρείσσων οὗ ἑταίρου καὶ φέρτερός ἐστι δίκαιος·
Ἐκ δ' ἀπάτησε κακοὺς σφετέρη ὁδός· οἱ δ' ἀλόωνται.
27 Νωθρὸς ἀνὴρ οὐχ εὗσεν, ὅπερ θηράμενος εἷλεν·
Ὀτρηροῦ δ' οἶκός τε μέγας, βίοτός τ' ἐρίτιμος.
28 Ζωὴ εἰν ὁδῷ ἐστι δικαιοσύνης ἐρατεινῆς,
Οὐδέ τις ἔπλετο πότμος ἐν ἀτραπιτοῖσιν ἐῇσι.

ΚΕΦ. ιγʹ.

1 Βουλὴν πατρὸς ἑοῖο μάλ' ἔκλυεν υἱὸς ἐχέφρων·
Ὃς δ' ὑπέροπλος ἔησιν, ὅ δ' οὐκ ἀΐεσκεν ὁμοκλῆς.
2 Ἐσθλοῖο στόματος βρώσει μελιηδέα καρπὸν
Ἀνήρ, οἷ' ἀγόρευε· βίην δέ τε θυμὸς ἀλειτέων.
3 Γλῶσσαν ὃς εὖ ἐφύλαξεν, ἑὴν ζωήν τε φύλαξεν·
Ὃς δ' ὑπὲρ αἶσαν ἀνῷγεν ἃ χείλεα, πάμπαν ὀλεῖται.
4 Πολλῶν ἐν φρεσὶ νωθρὸς ἐέλδεται, ἀλλὰ καὶ ἔμπης
Οὐδὲν ἔχει, πενίη γὰρ ἀεργῷ σύμφορος ἀνδρί·
Σπουδαίῳ δέ τε πῖαρ, ἐπεὶ μάλα μυρίον ἕξει.
5 Ἐσθλὸς ἀνὴρ τὸ ψεῦδος ἀπέστυγεν· αὐτὰρ ἀλείτης
Πᾶσιν ἀπεχθάνεται, πολλὸν δέ μιν αἶσχος ἱκάνει.
6 Ὃς ποσὶν ἀκλινέεσσι δίκης ἐπάτησε κελεύθους,
Τόνδε δίκη ἐφύλαξε· κακὸν δ' ἀπόλεσσεν ἁμαρτάς.
7 Ὃς μὲν, ὅτ' οὐδὲν ἔχει, μάλα πλούσιος εὔχεται εἶναι·

Ὃ

Sed ille abſque dolore erit, & ærumnâ gravi :
Peccatores autem abundè exantlaturi ſunt miſeriæ.

Labia inviſa ſunt Deo, quæ mendacia loquuntur :
Delectatur autem (iis) quibus curæ-eſt veritas gratioſa.

Vir ſolers prudentia mente conſilia occultat :
Cor autem inſipientium palàm ſtultitiam oſtendit.

Qui manibus diligenter feſtinans ſua opera perficit,
Imperabit aliis : tributum autem pendet ignavus.

Dolor in pectore dejectum animum facit
Viri mœſti: verbum autem eum bonum lætificat.

Melior ſuo ſocio, & præſtantior eſt juſtus:
Decipit autem malos ſua via : illi autem errant.

Segnis homo non aſſat, quod venando cepit :
Diligentis autem ſubſtantia magna, victúſque pretioſus.

Vita in via eſt juſtitiæ amabilis,
Nec ullus eſt interitus in ſemitis ejus.

CAP. XIII.

ADmonitioni patris ſui valdè auſcultat filius prudens:
Qui autem inſolens eſt, ille non audit increpationem.

Boni oris comedet dulcem fructum
Vir,eò-quòd-ſic locutus eſt: violentiam autem (edet) anima tranſgreſſorum.

Linguam qui bene cuſtodit, ſuam etiam vitam cuſtodit:
Qui autem præter fas aperit ſua labia, prorſus peribit.

Multa in animo ignavus concupiſcit, ſed tamen
Nihil habet, paupertas enim ſegni ſocia viro :
Diligenti autem pinguedo,quandoquidem valdè medullam habebit

Bonus vir mendacium abhorret: ſed tranſgreſſor
Omnibus odio eſt, multa autem ad eum ignominia accedit.

Qui pedibus non-declinantibus juſtitiæ calcat vias,
Eum juſtitia ſervat: malum autem (hominem) perdit peccatum.

Alius quidem,quando nihil habet, valdè divitẽ ſe eſſe profitetur:

Ὃς δὲ πένης φῆ ἔμμεν', ὅθ' οἱ πολὺς ὄλβος ὀπηδεῖ.
8 Χρήματα μὲν ψυχῆς μεροπηΐδος ἐστὶν ἄποινα·
Ἀλλὰ πένης ἀπίθησε, καὶ οὐκ ἐπάκουσεν ἐλέγχου.
9 Ἀνδρῶν εὐσεβέων γάνυται φάος ἀγλαΐηφι·
Δυσσεβέων δὲ δαίος τ' ἔσβη, καὶ φλὸξ ἐμαράνθη.
10 Μούνη ἀγηνορίη ἔριδας καὶ νείκεα τίκτει·
Πὰρ δέ τέ οἱ φρένες εἰσὶν, ὃς εὖ πέρι οἶδε νοῆσαι.
11 Χρήματ', ἅ τις ματίῃσι καὶ οὐ κατὰ κόσμον ἄγειρε,
Ῥεῖά κ' ἀποφθινύθοι, μινύθοι δέ τε κέρδεα λυγρά.
Ὃς δὲ πόνῳ συνάγειρεν, ὅ κεν μέγαν ὄλβον ὀφέλλοι.
12 Ἐλπὶς ἀναβληθεῖσα μάλ' ἔνδοθι θυμὸν ἀμύσσει·
Δένδρεον δὲ ζωῆς τετελεσμένον ἐστὶν ἐέλδωρ.
13 Ὅς κεν ἀτιμάζῃσι λόγον, προθέλυμνος ὀλεῖται·
Αὐτὰρ ἐφημοσύνης ἐμπαζόμενος γέρας ἕξει.
14 Θεσμὸς τοῦ πινυτοῦ φυσίζοος ἔπλετο πηγή,
Χάζεσθαι ἀπονόσφι λίνων μέλανος θανάτοιο.
15 Ἐσθλὸς μὲν νόος ἀνδρὶ χάριν καὶ κῦδος ὄρεξεν·
Ἔργα δ' ὑπερφιάλων τε καὶ ἤθεά εἰσ' ἀτέραμνα.
16 Ἔρδει ἰδυίῃσιν πινυτὸς φρεσὶν, ὅ, τι κεν ἔρδοι·
Ἄφρων δ' αὖ ἀναφανδὰ χαλιφροσύνην προέηκεν·
17 Ὃς κακὸς ἄγγελός ἐστι, τάχ' οἱ μέγα πῆμα κυλισθῇ·
Πιστὸς δὲ πρέσβυς καὶ ἐτήτυμός ἐσθ' ὑγίεια.
18 Ὅς κεν ἀνήνηται βουλὴν, πενίη μιν ἱκάνει,
Αἰδώς θ', ἣ πενίης κακοειμονός ἐστιν ἑταίρη·
Ὃς δέ τ' ἐλεγχόντων ὄθεται φρεσὶν, ἔμμορε τιμῆς.
19 Ὡς γλυκερὸν ψυχῇ, ὅτε τις τελέσειεν ἐέλδωρ·
Ἄφρονες αὖ στυγέουσιν ἀποκλῖναι κακότητος.
20 Ὅς κεν ὁμιλήσῃ πινυτοῖς, πεπνυμένος ἔσται·
Ἀνδρῶν δ' ἀφραδέων συνέειθος πάμπαν ὀλεῖται.
21 Δυσσεβίης θεράποντα κακὸν μετόπισθε διώκει·
Καλὴ δ' εὐδικίης ὑποφήτην ἵξετ' ἀμοιβή.
22 Κάλλιπεν ἐσθλὸς ἀνὴρ κλῆρον παίδεσσιν ἑοῖσι,

Καὶ

Alius autē pauperem dicit ſe eſſe, quando ei multæ divitiæ adſunt.
Divitiæ animæ humanæ ſunt redemptionis-pretium:
Sed pauper non-obtemperat, & non audit reprehenſionem.

Hominum piorum renidet lux præ ſplendore:
Impiorum autem lucerna extinguitur, & flamma marceſcit.

Sola ſuperbia lites, & jurgia parit.
Apud eum autem prudentia eſt, qui bene admodum novit intelligere.

Divitiæ, quas quis per vanitatem, & non cum ratione collegit,
Facilè dilabentur, minuentúrque lucra mala:
Qui autem labore colligit, is magnas opes augebit.

Spes dilata valdè intus animum cruciat:
Arbor autem vitæ perfectum eſt deſiderium.

Qui contemnit ſermonem funditùs peribit:
At qui præceptum curat, præmium habebit.

Lex ſapientis vitalis eſt fons,
Recedere ſeorſim à retibus atræ mortis.

Bona mens viro gratiam, & gloriam præbet:
Opera autem tranſgreſſorum, & mores ſunt duri.

Facit prudenti animo ſapiens, quodcunque fecerit:
Inſipiens autem è contrà palàm ſtoliditatem profert.

Qui malus nuncius eſt, citò in eum magnum malum devolvitur:
Fidelis autem legatus & verus, eſt ſanitas.

Qui recuſat admonitionem paupertas eum invadit,
Pudórque, qui paupertatis malè veſtitæ eſt ſocius:
Qui autem reprehendentes curat in animo, conſequitur honorem.

Quàm dulce (eſt) animæ, quando aliquis compleverit deſiderium!
Stulti verò etiam oderunt declinare à malitia.

Qui verſatur cum ſapientibus, ſapiens erit:
Virorum autem imprudentium ſocius prorſus peribit.

Impietatis miniſtrum malum poſtea perſequitur:
Pulchra autem juſtitiæ profeſſori adveniet retributio.

Relinquit bonus vir hæreditatem natis ſuis,

Καὶ παίδων παίδεσσιν, ὅσοι μετόπισθε γένωνται·
Χρήματα δ' αὖτε κακοῦ, ἐσθλῷ κειμήλια κεῖται.
23 Πολλάκι μὲν πολύκαρποι ἄρουραί εἰσι πενιχρῶν
Ἐξ εὐθημοσύνης, φείσει δέ τε πυρὸς ἀν' ὄγμους·
Ἔσθ' ὅ, τε λιμῷ ὄλωλεν ἀϊδρείῃσι νόοιο.
24 Ὃς ῥάβδου μὲν φείδετ', ἀπεχθαίρει ἑὸν υἷα·
Πρωῒ δέ μιν μαστίζει ὅ, τις περὶ κῆρι φίλησεν.
25 Ἐσθλὸς ἀνὴρ γλυκερῆς ἐκορέσσατο θυμὸν ἐδωδῆς·
Χρειὼ δ' ἵκετ' ἀλιτρὸν, ἔτειρε δὲ γαστέρα λιμός.

ΚΕΦ. ιδʹ.

1 ΠΑ͂σα πύκα φρονέουσα γυνὴ ἑὸν οἶκον ἔδειμεν·
Ἄφρων δὲ προρρίζον ἀνέτρεπε χερσὶν ἑῇσιν.
2 Ὅς κ' εὐθρὸς ἔῃ, Θεὸν ἅζεται αἰὲν ἐόντα·
Ὃς δ' αὐτοῦ ἀπίθησε λόγοις, ἔθεν οὐκ ἀλεγίζει.
3 Ῥάβδος ἀγηνορίης πέλει ἂν στόμα νηπυτίοιο·
Χείλεα δ' αὖ πινυτῶν σφέας ἐν πάντεσσι φυλάξει.
4 Φάτνη ἄνευθε βοῶν κενεὴ, μινύθει δέ τε σῖτος
Χήτεϊ τῶνδε· βοὸς δ' ἀλκὴ μέγα κέρδος ὀπάζει.
5 Ψεῦδος ῥ' οὐκ ἐρέει, ὃς μάρτυρος ἔπλετο πιστός·
Λυγρὸς δὲ κλέπτει, καὶ ψεύδεα πόλλ' ἀγορεύει.
6 Ἐμπαίκτης πινυτὴν διζήμενος οὔπω ἔτετμε·
Ῥεῖα δέ κ' ἰδρείην εὕροι πεπνυμένος ἀνήρ.
7 Ἠλιθίου ἀλέεινε προσώπατα, μηδ' οἱ ὁμίλει
Πάμπαν, ἐπεὶ ἐνόησας ὅτ' οὐ πεπνυμένα βάζει.
8 Κερδοσύνη πινυτοῖο, ἑὴν ὁδὸν εὖ νοῆσαι·
Ἀφραδέων δ' ἀεσιφροσύνη δόλος ἔστ' ἀλεγεινός.
9 Ἀμπλακίην ποιεῦσ' ἀθύρματα νήπιοι ἄνδρες·
Ἐν δὲ δικαίοισιν χάρις ἱμερόεσσα τέθηλεν.
10 Ἐν φρεσὶν οἶδεν ἕκαστος ἑοῦ κακὰ κήδεα θυμοῦ·
Οὐδέ τις ἄλλος ἑῇσιν ἐϋφροσύνῃσιν ἐμίχθη.
11 Οἶκός κεν προρρίζος ἀμαλδύνηται ἀλιτρῶν.

Et filiorum filiis, quicunque poſtea nati fuerint:
Divitiæ autem è-contra mali bono cimelia reponuntur.
Sæpenumero quidem fructuoſi agri ſunt pauperum
Ex bona-rerum digeſtione, horret autem triticum per ſulcos:
Eſt & qui fame perit præ-juſtitia mentis.
Qui virgæ parcit, odit ſuum filium:
Manè autem eum flagellat, quiſquis animitùs diligit.
Bonus vir dulci ſatiatur in animo cibo:
Indigentia autem invadit peccatorem, vexat autem (ejus) ventrem (fames.

CAP. XIV.

UNaquæque ſapiens mulier ſuam domum ædificat:
Stulta autem funditùs evertit manibus ſuis.
Qui benignus eſt, Deum veretur æternum:
Qui autem ejus non obtemperat ſermonibus, eum non curat.
Virga ſuperbiæ eſt in ore ſtulti:
Labia autem prudentium eos in omnibus cuſtodient.
Præſepe ſine bobus vacuum eſt, deficit autem frumentum
Præ-inopia horum: bovis autem robur magnum lucrum præbet.
Mendacium non dicet, qui teſtis eſt fidelis:
Malus autem fallit, & mendacia multa loquitur.
Deriſor prudentiam quærens non invenit:
Facilè autem ſcientiam inveniet ſapiens vir.
Fatui fuge conſpectum, neque cum eo verſare
Omnino, poſtquam noveris quòd non prudentia loquitur.
Solertia prudentis ſuam viam eſt intelligere:
Stultorum autem ſtultitia dolus eſt miſerabilis.
Peccatum faciunt ludos ſtulti homines:
Inter juſtos autem gratia amabilis floreſcit.
In mente novit unuſquiſque ſui malos dolores animi:
Nec quiſquam alius ejus gaudiis ſe-intermiſcet.
Domus funditùs evertetur peccatorum:

Ἐσθλῶν δὲ κλισίη τεθαλυῖα, καὶ ὀλβιοδαίμων.
12 Ἔσθ᾽ ὁδὸς, ἥ τ᾽ ἰθεῖα καὶ αἰσίμη εἴδεται εἶναι·
Τῆς δὲ τέλος θάνατόν τε φέρει, καὶ κῆρα μέλαιναν.
13 Εἰσὶ μὲν, οἳ γναθμοῖσι γελώων ἀλλοτρίοισι,
Μέσσῳ τ᾽ εἰνὶ γέλῳ κῆρ ἄχνυτο, σὺν δέ τις αὐτῆς
Πικρὴ παρμέμβλωκεν ἐϋφροσύνῃσιν ἀνίη.
14 Πίμπλαται ὧν ἔργων, ᾧ ἀπόστροφος ἔπλετο θυμός·
Πίμπλατ᾽ ἀνὴρ ἀγαθός τε, κόρος τε μιν οἴκοθεν αἱρεῖ·
Ὡς ἅλις ἔστ᾽ ἀμφοῖν, ἄμφω κεν ἀροίατο μισθὸν
Οἷά ποτ᾽ εἰργάζοντ᾽, ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλός.
15 Νήπιος ὅ, τι ἀκούοι ἔπος, νημερτὲς ὀΐει·
Ὃς δέ τε πέπνυται, πεφυλαγμένος ἴχνια πάντα
Ἐν φρεσὶ βάλλεται ᾗσι, καὶ ἔστί τις οὐ ταχυπειθής.
16 Δείδιε μὲν πινυτὸς, καὶ ὑπ᾽ ἐκ κακοῦ ὃν πόδα θῆκεν·
Ἄφρων δ᾽ αὖ θύει, μάλα τε θρασυκάρδιός ἐστιν.
17 ᾯ τάχα οἰδαίνεται κραδίη χόλῳ, ἀφραδίῃσιν
Ἔικει· ὁ δ᾽ ἔχθιστος πάντων κακομήχανος ἀνήρ.
18 Νήπιοι ἀφροσύνην ἑὸν ἠΰτε κλῆρον ἔχουσι·
Ἰδρείην δὲ νόοιο περίφρονες ἐστεφάνωνται.
19 Ὀκλάζουσι κακοὶ, ἱκέται ὣς γοῦνα λαβόντες
Εὐσεβέων, καὶ ἀλεῖται ἐνὶ προθύροισι δικαίων.
20 Πτωχὸς ἀνὴρ ἐχθρὸς καὶ ἑοῖσί περ ἐστὶν ἑταίροις·
Πολλοὶ δ᾽ ἀφνειοῖο φίλοι, ἕταροί τε πέλονται.
21 Ἤμβροτεν, ὃς κεν ἑταῖρον ἀτιμίῃσιν ἰάλλῃ·
Ἄνδρα δ᾽ ὃς οἰκτείρει κεχρημένον, ὄλβιός ἐστιν.
22 Οὐκ ἄρα πλάζονται, οἳ ἀτάσθαλα μηχανόωνται;
Οἳ δ᾽ ἀγαθὰ φρεσὶν ἔργα καὶ αἴσιμα μητιόωσι,
Τοῖς παρά τ᾽ ἔστ᾽ ἔλεος, παρά τ᾽ ἀτρεκίη τεθαλυῖα.
23 Παντὶ πόνῳ ὄφελος, καμάτῳ δ᾽ ἅμα κέρδος ὀπηδεῖ·
Ἀλλὰ τί μύθων ἦδος, ἐπεὶ χρειώ σε κιχάνει;
Ἐν γὰρ χερσὶ τέλος πενίης, ἐπέων δ᾽ ἐνὶ βουλῇ.
24 Πλοῦτος μὲν πινυτῶν στέφανος σφίσι κάλλιμός ἐστιν·

Bonorum autem tabernaculum florens, & felix.
Eſt via, quæ recta, & juſta videtur eſſe :
Ejus autem finis mortémque fert, & fatum nigrum.
Sunt, qui maxillis rident alienis,
Medióq; in riſu cor mœſtum eſt, unà autem cum ipſis
Amara intercedit gaudiis triſtitia.
Impletur ſuis operibus, cui averſus eſt animus:
Impletur & vir bonus, ſatietas etiam eum è proprio occupat;
Sic ſatis eſt utriſque, ambo ferent præmium,
Eò-quòd-talia fecerint, cùm malus, tum bonus.
Stultus, quodcunque audit verbum, verum exiſtimat :
Qui autem ſapit, cautus greſſus omnes
In mente perpendit ſua, & eſt non facilè credulus.
Timet ſapiens, & extra malum ſuum pedem ponit:
Stultus autem è contrà furit, & valdè audax eſt.
Cui citò intumeſcit cor irâ, (is) ſtultitiæ
Cedit: odioſiſſimus autem omnium (eſt) mala machinans homo.
Stulti ſtultitiam, ſuam veluti hæreditatem tenent:
Scientiâ autem mentis prudentes coronantur.
Ingeniculant ſe mali, tanquam ſupplices genua prehendentes
Piorum, & improbi in veſtibulo juſtorum.
Pauper vir exoſus etiam ſuis eſt ſodalibus :
Multi autem divitis amici, ſociíque ſunt.
Peccat, qui ſodalem ſuum dedecore afficit:
Viri autem qui miſeretur pauperis, felix eſt.
Nonne utique errant, qui mala machinantur?
Qui autem bona in animo opera, & honeſta meditantur,
Aderit iis & miſericordia, aderítque veritas florida.
Omnem operam commoditas, laborem autem lucrum comitatur:
Sed quæ verborum utilitas, poſtquam egeſtas te occupat?
In manibus enim finis paupertatis, verborum autem in conſilio.
Divitiæ ſapientium corona iis pulchra eſt:

Ἀφραδέων δὲ χαλιφροσύνη ματίη ἀλεγεινή.
25 Πολλὰς μὲν ψυχὰς ἐῤῥύσατο μάρτυρος ἐσθλὸς
Εἰπὼν ἀτρεκέως· δολερὸς δὲ ψεύδεα βάζει.
26 Σὺν φόβῳ Ἀθανάτοιο μάλ' ἔμπεδον ἀνέρα θάρσος
Ἵκετο· καί κεν ἑοῖσι τέκεσσιν φυκτὰ πέλοιντο.
27 Ἀθανάτοιο φόβος φυσίζοος ἔπλετο πηγὴ,
Χάζεσθαι ἀπονόσφι λίνων μέλανος θανάτοιο.
28 Τιμὴ μὲν βασιλῆος ἐνὶ πληθύϊ πέλεν ἀνδρῶν·
Ἐι δ' ὑπολίζονές εἰσιν, ὅδ' ὤλετο χήτεϊ λαῶν.
29 Πολλὸν ἀνὴρ πέπνυται, ὃς οὐ κεχολώσεται αἶψα·
Ἀλλ' ὅγε νήπιός ἐστιν, ὃς ἀσπερχὲς χαλεπαίνει.
30 Κῆρ ὑγιὲς, σαρκῶν τε βίος, καὶ μυελὸς ἀνδρῶν·
Ἶσα δὲ τηκεδόνι στυγερῇ φθόνος ὀστέα σήπει.
31 Πτωχὸν ὃς ὑβρίζεσκεν, ἑὸν λωβήσατο πλάστην·
Ὃς δὲ Θεὸν περὶ κῆρι τίει, ἐλέησε πενιχρόν·
32 Ἀμπλακίῃσιν ἑῇσιν ἀτάσθαλος ἐστυφελίχθη·
Ἐλπὶς δ' εὐσεβέεσσι καὶ ἐν θανάτοιό περ αἴσῃ.
33 Ἡ σοφίη πινυτοῦ ἐν στήθεσιν ἔνδοθι κεῖται·
Ἀλλὰ τάχ' εἶσι φόωσδε, τὸ νήπιος ἐν φρεσὶ τίκτει.
34 Εὐσεβίῃσι πόλις μέγ' ἀέξεται· αὐτὰρ ἁμαρτὰς
Λώβην τε λαοῖσι, καὶ ἔθνεσιν αἶσχος ἔθηκε.
35 Κεδνὸς μὲν θεράπων κεχαρισμένος ἐστὶν ἄνακτι·
Ὃς δ' αἰσχρῷ χαλέπτην, χόλος τε οἱ ἔμπεσε θυμῷ.

ΚΕΦ. ιε'.

1 ΜΗνιν ἀπέτρεψεν μαλακὸς λόγος, ἔγειρε δὲ θυμόν·
Ἀργαλέος δ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι·
Θυμοδακὴς γὰρ μῦθος ὀρίνεται, ὅς κεν ἀκούῃ.
2 Γλῶσσα πολυφραδέων φρεσὶν εὖ κέχρητ' ἀγαθῇσι·
Χείλεα δ' ἠλιθίων βρύει ἀφραδίῃσι νόοιο.
3 Πάντα ἰδὼν Θεοῦ ὀφθαλμὸς, καὶ πάντα νοήσας·
Πάντῃ ὀπιπτεύει ἠμὲν κακὸν, ἠδὲ καὶ ἐσθλόν.

Stultitia autem ſtultorum eſt vanitas miſerabilis.

Multas animas liberat teſtis bonus
Locutus verè : doloſus autem mendacia loquitur.

Cum timore Immortalis valde firma hominem fiducia
Accedit : & ejus liberis refugium erit.

Immortalis (Dei) timor vitalis eſt fons,
Recedere ſeorſum à laqueis atræ mortis.

Honor regis eſt in multitudine virorum;
Sin antem pauci fuerint, is perit præ inopia populorum.

Multùm vir ſapit, qui non iraſcetur ſubitò:
Verùm ille inſipiens eſt, qui continuò ſuccenſet.

Cor ſanum, carníſque vita eſt, & medulla hominum :
Inſtar autem tabis infeſtæ livor oſſa putrefacit.

Pauperem qui contumeliâ afficit, ſuo convitiatur formatori :
Qui verò Deum in corde honorat, miſeretur pauperis.

Per peccata ſua improbus deturbatur:
Spes verò (eſt) piis vel in mortis conditione :

Sapientia prudentis in pectore intùs jacet :
Sed ſtatim prodibit in lucem (id) quod ſtultus in mente parit.

Pietate civitas multùm promovetur; ſed peccatum
Probrúmque populis, & gentibus ignominiam affert.

Prudens famulus acceptus eſt regi:
Ille verò turpi ſuccenſet, iráque ei incidit in animum.

CAP. XV.

IRam avértit molle reſponſum, compeſcit autem furorem;
Durum autem impellit ſapientem etiam iraſci.
Animum-mordens enim eſt (ejuſmodi) ſermo; commovetur quicunq; audierit.

Lingua prudentium mente rectè utitur bonâ:
Labia autem ſtultorum ſcaturiunt inſipientiâ mentis.

Omnia cernens Dei oculus eſt, & omnia percipiens;
Ubique intuetur tum malum, tum bonum.

4 Γλῶσσ' ὑγιὴς ξύλον ἐστὶ βίου· ἡ δ' αἴσυλα βάζει,
Ἥ τε διέστραπται, κλάσις ἀνέρος ἔστ' ἐνὶ θυμῷ.
5 Ἄφρων πατρὸς ἑοῖο ἐφημοσύνην ἀθερίζει·
Πέπνυται δέ τε κεῖνος, ὃς ἐν φρεσὶ βάλλετ' ἐνιπήν.
6 Θησαυρὸς πολὺς ἐστὶν ἐνὶ μεγάροισι δικαίων·
Δυσσεβέων δ' οἶκος καὶ κλήματα πάντα ταράχθη.
7 Χειλέων ἐκ πινυτῶν ἅλις ἔῤῥεεν ἔνθα καὶ ἔνθα
Ἰδμοσύνη· κραδίη δὲ χαλίφρονος οὔποτε τοίη.
8 Ἱρὰ κακῶν Θεῷ ἐχθρὰ, καὶ οὐ κεχαρισμένα δῶρα·
Ἰθυπόρων δὲ λιτῇσι καὶ εὐχωλῇσιν ἐτέρφθη.
9 Οἶμον ἁμαρτινόου στυγέει Θεὸς, αἴσυλά τ' ἔργα·
Ὃς δὲ δίκην ἐφέπει, μάλα οἱ πεφιλημένος ἐστί.
10 Μάστιξ οἱ χαλεπὴ, ὅ, τ' ἀποκλίνησιν ὁδοῖο·
Οὐδ' ὑπὸ κῆρας ἀλύξει, ὅ, τ' ἐχθαίρῃσιν ἔλεγχον.
11 Τάρταρος ἠδέ τ' ὄλεθρος ἐναντίον εἰσὶ Θεοῖο·
Πῶς οὐκ ἀνθρώπων κραδίη καὶ θυμὸς ἁπάντων;
12 Οὔτοι ἐπιπλήσσοντα φιλεῖ ὑπερήφανος ἀνήρ·
Φεύγει δὲ φρονέοντα, καὶ οὐ πινυτοῖσιν ὁμιλεῖ.
13 Γηθοσύνη κραδίη ἱλαρὴν ποίησεν ὀπωπήν·
Πένθει δ' ἐν στήθεσσι κατεκλάσθη φίλον ἦτορ.
14 Ἰδμοσύνην ζητεῖ κραδίη πεπνυμένου ἀνδρός·
Δαίνυτο δ' ἀφραδέων στόμα νηπιέην ἀλεγεινήν.
15 Ἀνδρὸς ὀϊζυροῖο κακ' ἤματα, λυγρά τε πάντα·
Εἰλαπίνη δ' ἄλληκτος ἐνὶ φρεσὶ γηθόσυνον κῆρ.
16 Βέλτερόν ἐστ' ὀλίγον τι φόβῳ ἅμα Ἀθανάτοιο,
Ἠὲ χρήματα πόλλ' ἅμ' ὀϊζύϊ καὶ κακότητι.
17 Δεῖπνόν τ' ἐκ λαχάνων, φιλότης δέ τε ὄψον ἐπ' αὐτῷ,
Βέλτερον ἢ βοῦς ἐκ φάτνης ἅμα ἔχθει λυγρῷ.
18 Ἀνὴρ μὲν ταχύμηνις ἀεικέα δῆριν ὀρίνει·
Ὃς δ' οὐ ῥεῖα χολοῦται, ἔριν καὶ νείκεα παύει.
19 Ὡς ὅτε καρχαρέων ἕρκος ἅπαν πέφρικεν ἀχέρδῳ,
Ἀμφὶ δ' ἄρ' αἱμασιαὶ, χραπῦς ἀνδρέσσι φέρουσαι,

Ἐν

Lingua ſana arbor eſt vitæ: quæ autem prava loquitur,
Quæque perverſa eſt, fractura hominis eſt in animo.

Stultus patris ſui mandatum contemnit:
Sapit autem ille, qui in animo perpendit objurgationem.

Theſaurus multus eſt in ædibus juſtorum:
Impiorum verò ſubſtantia, & poſſeſſiones omnes conturbantur.

Labiis ex ſapientibus ubertim fluit huc & illuc
Scientia: anima autem inſipientis neutiquam talis.

Sacrificia malorum Deo inviſa (ſunt,) & non grata dona:
Rectè-incedentium verò precibus & votis delectatur.

Viam peccatoris abominatur Deus, ſceleſtáque opera:
Qui verò juſtitiam proſequitur, valdè ei dilectus eſt.

Flagellum illi grave (eſt) qui declinat à viâ:
Neque fatum effugiet, qui odit reprehenſionem.

Infernum & perditio in conſpectu ſunt Dei:
Quomodo (ergò) non hominum cor & animus omnium?

Nequaquam increpantem amat inſolens homo:
Fugit verò prudentem, neque cum ſapientibus verſatur.

Lætum cor hilarem facit vultum:
Dolore autem in pectore frangitur charum cor.

Scientiam quærit cor prudentis viri:
Veſcitur autem ſtultorum os inſipientiâ miſerandâ.

Viri calamitoſi mali ſunt dies, moleſtíque omnes:
Convivium autem juge in animo (eſt) lætum cor.

Melius eſt exiguum quiddam ſimul cum timore Immortalis,
Quàm divitiæ multæ unà cum miſeria, & ærumna.

Prandiúmque ex oleribus, amórque condimentum cum illo,
Melius (eſt) quàm bos ex præſepi unà cum odio gravi.

Homo celer-ad-iram indecoram litem concitat:
Qui autem non facilè iraſcitur, contentionem & jurgia ſedat:

Sicut quando aſpera ſepes tota horret ſpinis,
Undiq; autem ſunt ſentes, quæ lacerationes hominibus ferunt,

Inſunt

19 Ἐν δὲ βάτοι ἄβατοι· τοίη ὁδὸς ἀνδρὸς ἀργοῦ·
Ἐσθλῶν δὲ λείη τε καὶ εὐβατός ἐστι κέλευθος·
20 Παῖς πινυτὸς οὗ πατρὸς ἐνὶ φρεσὶ θυμὸν ἰαίνει·
Μητέρα δ' ἣν ἀθερίζει ἀνὴρ ἀποφώλια εἰδώς.
21 Τέρπεται ἀφραδίῃσιν, ᾧ οὐ φρένες ἔμπεδοί εἰσιν·
Ὃς δέ τ' ἐχέφρων ἐστὶ, κί' ἰθυπόροισι πέδεσσιν.
22 Αἰὲν ἄνευ βουλῆς ἀνεμώλιοί εἰσι μενοιναί·
Ἔνθα δ' εὐσταθίη, πολλοὶ ὅθι βουλεύουσιν.
23 Ἧς γλώσσης ἀπόνηται ἀνὴρ, ὅς τ' αἴσιμα εἴπῃ,
Χαίρων οἱ ἀπάμειπτο· λόγος δ' ὡς καλὸς ἐν ὥρῃ.
24 Ὑψιτενὴς ὁδός ἐστι βίου πεπνυμένῳ ἀνδρὶ
Βήμεναι, ὄφρ' ἀΐδην τε φύγοι καὶ κῆρας ἔνερθεν.
25 Ἔρραισεν Θεὸς οἶκον ὑπερφιάλων ἀνθρώπων·
Χηράων δ' ἵδρυσε δόμον, καὶ τέρματ' ἀρούρης.
26 Ἐχθρά τε καὶ στυγέρ' ἐστὶ Θεῷ μελεδήματ' ἀλείτεω·
Τερπνοὶ δ' εἰσὶ λόγοι καθαρὰ φρεσὶ μήδε' ἐχόντων.
27 Οἴκῳ ἑῷ μέγα πῆμα κυλίνδει κερδαλεόφρων·
Ὃς δέ τ' ἀπεχθαίρει δῶρα, ζωοῖσι μετέσται.
28 Πῶς κεν ὑποκρίναιτο, μετὰ φρεσὶ μέμβλεται ἐσθλῷ·
Λαβραγόρης δὲ κακὸς, καὶ ἀτάσθαλα πόλλ' ἀνερεύγει.
29 Τῆλ' ἀπὸ δυσσεβέων ἔστη Θεὸς, οὐδὲ πελάζει·
Ἔκλυε δ' εὐσεβέων φωνῆς, καὶ ἄκουσε λιτάων.
30 Ὀφθαλμῶν γε φάος τέρψε φρένα· καὶ φάτις ἐσθλὴ
Μυελὸν εἶν ὀστέοισιν. ἰδὲ γλυκὺ πῖαρ ἔηκεν.
31 Ὅς γὰρ ἐλέγχοισι ζωῆς ἑὸν οὖας ἐρείδει,
Ναίει σὺν πινυτοῖσιν, ὁμοίης τ' ἔμμορε τιμῆς.
32 Ὃς γὰρ ἀναίνετ' ἔλεγξιν, ἑὴν ψυχὴν ἀθερίζει·
Ὃς δ' ἐπιπείθετ' ἐνιπῇ, ὅδ' αὖ λέλαχε φρένας ἐσθλάς.
33 Δεῖμα Θεοῦ ὑποθημοσύνη πινυτῆς ἐρατεινῆς·
Ἡ τ' ἀγανοφροσύνη τιμῆς προπάροιθε βέβηκε,
Καὶ χθαμαλὰ φρονέων τάχ' ὑπέρτερον ἤρατο κῦδος.

ΚΕΦ. ις'.

Inſunt autem rubi qui-per meari-vix-poſſunt: talis eſt via hominis ignavi;
Bonorum autem plana, & pervia eſt ſemita.
Filius prudens ſui patris intùs animum exhilarat:
Matrem verò ſuam ſpernit homo ſtolida ſciens.
Delectatur ſtultitiâ (ille) cui non mens firma eſt.
Qui autem ſapiens eſt, incedit rectè euntibus pedibus.
Semper ſine conſilio irritæ ſunt cogitationes:
Ibi verò ſtabilitas, multi ubi conſultant.
Ex ſuâ linguâ fructum-percipit vir qui recta dixerit,
Gaudens quòd ſic reſpondit, verbum autem quàm pulchrum in tempore!
In altum-tendens via eſt vitæ viro prudenti
Incedere, ut infernum fugiat, & fatum ſubtùs.
Diſperdit Deus domum ſuperborum hominum:
Viduarum autem ſtabilit ædes, & limites agri.
Odioſæ & abominatæ ſunt Deo cogitationes tranſgreſſoris:
Delectabiles verò ſunt ſermones pura in animo conſilia habentium
Domui ſuæ magnum damnum advolvit avarus:
Qui verò odit munera, vivis intererit.
Quomodo reſpondeat, in animo curæ-eſt viro bono:
Loquax autem eſt malus, & nefaria multa eructat.
Procul ab impiis ſtat Deus, neque appropinquat:
Audit verò piorum vocem, & auſcultat precibus.
Oculorum lux oblectat animum: & rumor bonus
Medullam in oſſa, & dulcem adipem immittit.
Qui reprehenſionibus vitæ ſuam aurem applicat,
Habitat cum ſapientibus, parémque ſortitur honorem.
Qui reſpuit correctionem, ſuam animam contemnit:
Qui autem obtemperat increpationi, ille è contrà nactus-eſt intelligentiam bonam.
Timor Dei inſtructio ſapientiæ amabilis;
Et manſuetudo ante honorem incedit,
Et humilia ſapiens mox ſuperiorem acquirit gloriam.

ΚΕΦ. ιϛ'.

1 Ἀνδρὸς ἐπιχθονίου πολλὰ φρεσὶν ὁρμαίνουσα
Πορφύρει κραδίη βουλή τέ οἱ ὅστιν ἐπίμη·
Ἀλλ' ἔπος ἐκ Θεοῦ ὅστιν, ὅ, τε γλώσσῃσιν ἀνάσσει.
2 Πάντα κέλευθα βροτοῦ δοκέει οἱ ἀμύμονα εἶναι·
Φραζόμενος δ' Θεὸς νόον ἐν στήθεσσι ταλαντοῖ.
3 Ἀθανάτῳ μάλ' ἕκηλος ἐπίτρεψον τὰ σὰ ἔργα·
Εὖ δέ τε χωρήσουσι τεοῦ μελεδήματα θυμοῦ.
4 Ἦ μάλα πάντα Θεὸς ἔθεν αὐτοῦ εἵνεκ' ἔτευξε·
Καὶ τὸν ἀλείτην ἄνδρα κακὴν ἐπ' ὀϊζύος ὥρην,
Καὶ ἐπὶ νηλεὲς ἦμαρ, ὅθ' οἱ σῶς αἰπὺς ὄλεθρος.
5 Ἐχθροὶ πάντες ἔασι Θεῷ, ὁ δέ τ' ἔστυγεν αὐτοὺς,
Ὅσσοι ἐνὶ στήθεσσιν ὑπέρβιον ἦτορ ἔχουσιν·
Οὐδ' ἄρα τοῦ νήποινοι ἀτάσθαλοι ἄνδρες ἔσονται,
Οὐδὲ περ ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.
6 Ἀμπλακίην ἐκάθηραν ἀληθείη τε καὶ οἶκτος·
Καὶ φόβῳ Ἀθανάτοιο παρὲκ κακοῦ ἄνδρες ἔκλιναν.
7 Εὖθ' ὁδοὶ ἀνθρώποιο Θεῷ καταθύμιοί εἰσι,
Τῷ ἐχθρὸν περ ἐόντα φίλα φρονέειν ἀνέηκε.
8 Βέλτερόν ἐστ' ὀλίγον περ ἅμ' εὐδικίῃσι νόοιο,
Ἢ πόλλ' ὑβριστέων κειμήλιά τε πρόβασίς τε.
9 Ἀνέρος ὁρμαίνει κραδίη φρεσὶν, ὁππόθι βαίνοι·
Ἂν δ' ὁδὸν ἐλθόντος Θεὸς ἴχνια πάντα κυβερνᾷ.
10 Θεσπεσίη ῥέεν ὀμφὴ ἀπὸ γλώσσης βασιλῆος·
Οὐδ' ἔκλεψε δίκην, ὁσίας δ' ἔκρινε θέμιστας·
11 Ἐκ Θεοῦ ἰθεῖα πλάστιγξ, σταθμός τε δίκαιος·
Τοῦ δ' ἔργον πάντες τε λίθοι, ψῆφοι δέ τε πᾶσαι,
Πάντα τε ἶσα τάλαντα, τά τ' ἐν πήρῃφι τίθενται.
12 Δεινὸν ἀνάκτεσσιν κακὰ ῥέζειν· εὐσεβίη δὲ
Σκήπτρου ἐστὶν ἔρεισμα, δίκῃ τ' ἀνθεῦσι πόληες,
Καὶ θρόνος ἱδρύνθη βασιλῆος εὐνομίῃσι.
13 Τερπωλὴ βασιλεῦσι λόγος καὶ γλῶσσα δικαίη·

Οἱ

CAP. XVI.

Viri terreſtris multa in animo volvens
Agitat cor: conſiliúmq; illi eſt paratum;
Sed reſponſum ex Deo eſt, qui & linguis imperat.
Omnes viæ hominis videntur illi inculpabiles eſſe;
Conſiderans verò Deus animum in pectore ponderat.
Immortali valdè quietus permitte tua opera:
Bene autem ſuccedent tui cogitationes animi.
Certè quidem omnia Deus ſui ipſius causâ fecit,
Etiam improbum virum malum in miſeriæ tempus,
Et in immitem diem, quando illi certa gravis perditio.
Inviſi omnes ſunt Deo, is autem abominatur illos,
Quotquot in pectore ſuperbum cor gerunt:
Et nullatenus impuniti impròbi homines erunt,
Ne alter quidem alterius ad volam manus tenentes.
Peccatum purgant veritas & miſericordia,
Et præ timore Immortalis à malo homines declinant.
Quando viæ hominis Deo gratæ ſunt,
Illi inimicum priùs exſiſtentem, amica ſapere efficit.
Melius eſt vel exiguum cum æquitate mentis,
Quam multi injurioſorum theſauri-reconditi, & proventus.
Viri deliberat cor in animo, quò vaderet:
Per viam autem incedentis Deus greſſus omnes gubernat.
Divina fluit ſententia à lingua regis:
Neque celat judicium, ſancta verò edicit jura.
A Deo recta bilanx, jugúmque juſtum:
Ejus autem opus omnéſque lapides, calculíque omnes,
Omniáque æqua pondera, quæ in ſacculo ponuntur.

Grave regibus mala facere; pietas autem
Sceptri eſt fulcrum, juſtitiâque florent civitates,
Et thronus ſtabilitur regius æquitate.
Voluptas regibus ſermo, & lingua juſta:

Οἵ τ' ἄρα μιν φιλέουσιν, ὅ, τις κατὰ μοῖραν ἔειπε.
14 Δεινὸς μὲν βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ·
Τοῦ δὲ χόλος χαλεπὸς πέλει, ἄγγελοι ὡς θανάτοιο,
Δειλοῖς ἀνθρώποισι φόνον καὶ κῆρα φέροντες,
Μῆνίς τ' ἀργαλέη· παύσει δέ μιν ὅστις ἐχέφρων.
15 Φέγγος ἀνακτορέης φυσίζοόν ἐστιν ὀπωπῆς·
Τῆς δὲ χάρις νέφος ὡς βρύον ὑετοῦ ὀψὲ ῥέοντι.
16 Ὡς μέγα λώϊτερον πινυτὴν ἢ χρυσὸν ἑλέσθαι·
Καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
Κτᾶσθαι ἐχεφροσύνην, ἢ ἀργυρείοιο τάλαντα.
17 Ἰθυνόων τρίβος ἐστίν, ὑπ' ἐκ κακοῦ ἴχνος ἐρείδειν·
Ὅς θ' ὁδὸν ἣν ἐφύλαξεν, ἑὴν ψυχὴν ἐσάωσεν.
18 Ἡ θ' ὑπεροπλίη προπάροιθε βέβηκεν ὀλέθρου·
Πότμου τ' ἀργαλέοιο προήλυθε θυμὸς ἀγήνωρ.
19 Βέλτερόν ἐστ' ἀγανοῖσι μετ' ἀνδράσιν ἤπιον εἶναι,
Ἢ μετ' ὑπερφιάλοισι λαχεῖν ἀπὸ ληΐδος αἶσαν.
20 Ἔργον ὃς εὖ ἴθυνεν ἰδυίῃσι πραπίδεσσιν,
Εὑρήσει ἀγαθόν· μάκαρ αὖ, Θεῷ ὅς κε πεποίθῃ.
21 Ὃς κραδίῃ πέπνυται, ἐχέφρονά μιν καλέουσιν·
Ἡδυεπὴς δὲ γλῶσσα δαημοσύνην μέγ' ὀφέλλει.
22 Πηγὴ ἀποβλύζουσα βίου φρόνις ἐστὶν ἔχοντι·
Βουλὴ δ' ἀφραδέων ἀεσιφροσύνη ἀλεγεινή.
23 Τοῦ πινυτοῦ κραδίη στόμα μήδεα πυκνὰ διδάσκει·
Κέδν' ἔπεα γλώσσῃ τε δίδοι, καὶ μῆτιν ἀέξει.
24 Τερπνὴ ἀπὸ γλώσσης μελίτος γλυκίων ῥέει αὐδή·
Μειλίχιοί τε λόγοι ὡς κηρίον εἰσὶ μελίσσης,
Ἀμφότερον, θυμῷ θ' ἑδανοί, ὀστέοις θ' ὑγιεινοί.
25 Ἔσθ' ὁδός, ἥ τ' ἰθεῖα καὶ αἰσίμη εἴδεται εἶναι·
Τῆς δὲ τέλος θάνατόν τε φέρει, καὶ κῆρα μέλαιναν·
26 Οἱ αὐτῷ ἐμόγησεν ἀνήρ, ὃς πόλλ' ἐμόγησε
Κάμνων, ὄφρα κε σῖτον ἔχοι, στόμα γάρ μιν ἀνώγει,
Γαστήρ θ', ἥ τε κελεύει ἑοῦ μνήσασθαι ἀνάγκῃ.

Iiſque illum amant, quiſquis rectè dixerit.
Terribilis (eſt) rex quando iraſcitur viro inferiori:
Ejuſque ira gravis eſt, nuncii ceu mortis,
Miſeris mortalibus cædem & fatum ferentes,
Furórque difficilis: ſiſtet autem eum quiſquis eſt ſapiens.
Lumen regii vitale eſt vultûs:
Ejus autem favor nubes ceu ſcatens pluviâ ſerotinâ.
Quàm multò melius ſapientiam quàm aurum eligere!
Utique hoc mallem, & multò utilius eſſet
Acquirere prudentiam, quàm argenti talenta.
Juſtorum callis eſt, extra malum veſtigium figere:
Qui autem viam ſuam cuſtodit, ſuam animam ſalvat.
Superbiáque præcedit perditionem:
Ruinámque gravem anteit animus inſolens.
Satius eſt cum manſuetis hominibus mitem eſſe,
Quàm cum ſuperbis conſequi de præda portionem.
Opus qui bene ordinat peritâ mente,
Inveniet bonum: beatus etiam, in Deum qui confidit.
Qui in corde ſapit, prudentem eum vocabunt:
Suaviloqua autem lingua doctrinam multùm auget.
Fons ſcaturiens vitæ, prudentia eſt habenti:
Conſilium autem inſipientium ſtultitia miſeranda.
Sapientis cor os conſilia prudentia docet:
Scitáque verba linguæ dat, & intelligentiam auget.
Delectabilis à lingua melle dulcior fluit oratio:
Placidíque ſermones ſicut favus ſunt apis,
Utrumque, animóque jucundi, oſſibúſque ſalubres.
Eſt via, quæ & recta & conveniens videtur eſſe:
Ejus autem finis mortémque fert, & fatum nigrum.
Sibiipſi laborat vir, qui multùm laborat
Fatigans-ſe, ut cibum habeat, os enim illum inſtigat,
Ventérque, qui hortatur ſui meminiſſe ex neceſſitate.

27 Φαῦλος ἀνὴρ ἀνόρυξε κακὸν, μέγα πῆμα φυτεύων
Τοῦ δ' ἐνὶ χείλεσιν οἷα πυρὸς μένος αἰθομένοιο.
28 Ὁ σκολιόφρων ἐστὶν, ἔριν καὶ μῶμον ἀνῆψε·
Κεδνοτάτους δὲ φίλους διά τ' ἐσκέδασ' ὁ ψιθυριστής·
29 Ἀνὴρ ὀβριμοεργὸς, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,
Ὃν φίλον ἐξαπάτησε, κακῆς δ' ἐπέβησε κελεύθου.
30 Ὀφθαλμοῖσι μύων σκολιὰ φρεσὶ μήδεται ἔργα·
Χείλεσι δὲ κνίζων κακὰ ῥέζει ἀτασθαλίῃσιν.
31 Εὐκλεὴς στέφανος πολιὸν κάρη ἐστὶ γερόντων,
Εἴ γε δικαιοσύνῃ πολλοῖσιν ἔτεσσιν ὀπηδεῖ.
32 Κρείσσων ἐστ' ἀγανὰ φρονέων ἢ ἄλκιμος ἀνήρ·
Ὅς τ' οὐκ αἶψα χολοῦται, ἢ ὃς κρατέει περιβέβηκε,
Καὶ θυμὸν δαμάσας, ἢ ὑπὲρ πόλιν ἐξαλαπάξαι.
33 Κόλπῳ ἔνι κλῆρον βάλον ἀνέρες, ὅς κε λάχῃσιν·
Ἐκ δὲ Θεοῦ δίκη ἐστὶ, πάλον δ' ὅγε πάντα ἰθύνει.

ΚΕΦ. ιζʹ.

1 Πύρνος βέλτερός ἐστι μεθ' ἡσυχίης ἐρατεινῆς,
Ἢ οἶκος πίων ἔριδος μετὰ θυμοβόροιο.
2 Ἄργυρος ἐν χοάνῳ δοκιμάζεται, ἐν δὲ καμίνῳ
Ὁ χρυσός· κραδίην δὲ Θεὸς, καὶ θυμὸν ἐτάζει.
3 Παιδὸς ἀνιηροῦ, ὅς τ' αἶσχος ἔθηκε τοκεῦσι,
Δμῶς πινυτὸς κρατέει· τῷ ὁππότε δασμὸς ἵκηται,
Ἔσσεται ὥσπερ ἀδελφὸς, ὁμοίης δ' ἔμμορεν αἴσης.
4 Χειλέων ψευδαλέων ἀειήκοος ἐστιν ἀλείτης·
Ἡ δὲ κακῇ γλώσσῃ ψεύστης ἑὸν οὖας ἐρείδει.
5 Ὃς λώβησε πενιχρὸν, ἑὸν μωμήσατο πλάστην·
Οὐδέ πω ἔσσετ' ἀθῷος, ὃς ἄλλων πήμασι χαίρει.
6 Παῖδες μὲν παίδων στέφανος τελέθουσι γερόντων·
Χάρμα τε γὰρ πατέρων παῖδες, τέκνων τε γονῆες.
7 Ἄφρονι μέν τ' οὐκ ἔστιν ἀριπρεπὲς ἐσθλ' ἀγορεύειν·
Μή τι γε κοιράνῳ ἀνδρὶ ἔοικε ψεύδεα βάζειν·

Μάργαρον

Improbus homo effodit malum, magnum damnum moliens,
Ejus autem in labiis veluti ignis vis ardentis.
Qui perverſo-animo eſt, litem ac jurgium accendit :
Fideliſſimos autem amicos diſſipat ſuſurro.
Homo ſacinoroſus qui non curat nefaria patrans,
Suum amicum fallit, malámque inducit in viam.
Oculis connivens obliqua in animo meditatur opera :
Labiis autem vellicans improba facit præ nequitia.
Glorioſa corona canum caput eſt ſenum,
Si modò juſtitia multos annos comitatur.
Præſtantior eſt mitem-animum-habens, quàm fortis vir;
Et qui non ſtatim iraſcitur, quàm qui robore excellit,
Et ſpiritum qui domat (ſuum), quàm qui civitatem expugnat.
In ſinum ſortem projiciunt homines, cuicunque contigerit :
A Deo autẽ determinatio eſt, ſortilegium autem ille totum dirigit.

CAP. XVII.

FRuſtum-panis melius eſt cum quiete amabili,
Quàm domus pinguis cum lite animum-rodente.
Argentum in vaſe fuſorio probatur, in fornace autem
Aurum, cor verò Deus, & animum examinat.
Filio moleſto, qui opprobrium affert parentibus
Famulus prudens dominabitur: igitur cùm diviſio venerit,
Erit ſicut frater, æqualem verò (cum eo) ſortitur portionem.
Labiis mendacibus valdè-attentus eſt peccator :
Atq; malæ linguæ mendax ſuam aurem applicat.
Qui contumeliâ afficit pauperem, ſuo conviciatur formatori:
Neque erit impunitus qui aliorum damnis lætatur.
Filii quidem filiorum corona ſunt ſenum :
Gaudium enim patrum liberi, liberorúmque parentes.
Stulto non eſt decorum bona proloqui :
Ne-dum principi viro par-eſt mendacia dicere.

8 Μάργαρον ὡς πέλει δῶρον ἐν ὀφθαλμοῖσιν ἔχοντος
Τιμῆεν, χαρίεν τ', ἀρετᾷ δὲ μάλ' ᾗ κε τράποιτο,
Ῥεῖά τ' ἐπέγναμψεν νόον ἀνέρος ὅν κεν ἱκάνοι.
9 Θρέψε φιλοφροσύνην, ὃς ἀτασθαλίην ἐκάλυψεν·
Ὃς δ' ἔπος ἂψ ἀνέφηνε, φίλους ἐκέδασσεν ἑταίρους.
10 Ἀνέρος ἀγχινόοιο μάλα φρένας ἵκετ' ἐνιπή·
Ὃς καὶ ἅπαξ ἐπιπλησσόμενος πολὺ μᾶλλον ἐπείθη,
Ἢ ἑκατὸν πληγῇσι τυπεὶς ἐπὶ νῶτα χαλίφρων.
11 Μοῦνον ἀποστασίην ζητεῖ κακομήχανος ἀνήρ·
Τοὔνεκά τ' ἀντίος αὐτοῦ ἀπηνὴς ἄγγελος εἶσιν.
12 Ἄρκτος ἀτεμβομένη τεκέων βροτῷ ἀντιβολήσαι·
Οὕτω γάρ κεν ἄμεινον, ἢ ἄφρων ἀφραδίῃσιν.
13 Ὃς κακὸν ἀντ' ἀγαθοῦ χαλεπὴν ἀπέπεμψεν ἀμοιβὴν,
Αὐτοῦ ἐνὶ μεγάροισι κακοῦ οὐκ ἔσσετ' ἐρωή.
14 Ὡς ὅτε τις τὸ κάταντες ὕδωρ προέηκε φέρεσθαι
Ῥοιζηδὸν, τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει,
Χώρῳ ἐνὶ προαλεῖ, πολλὸν δέ τε συρφετὸν ἕλκει,
Οὐδ' ἄρα ἕρκεά μιν καὶ ἔχματα ἰσχανόωσι·
Τοίη νείκεος ἀρχὴ ἐν ἀνθρώποισιν ὄρωρε·
Τοὔνεκα λῆγ' ἐειδὸς, πρὶν ἐνὶ νείκεσσι μιγῆναι.
15 Ὃς ῥα δίκαιον ἔφη ἄδικόν τ', ἄδικόν τε δίκαιον
Ἔμμεναι, ἀμφότεροι ἐχθροὶ Θεῷ εἰσιν ὁμοίως:
16 Τίφθ' ἄλις ἔσθ' ἐνὶ χειρὶ χαλίφρονος, ᾧ κε δύναιτο
Ἄρκιον ὦνον δοὺς ἀγοράζεσθαι φρένας ἐσθλὰς,
Τῷ δ' οὐ τοῦτο μέμηλε, νόος δέ οἱ ἄλλα μενοινᾷ;
17 Ἤματα πάντα φίλος, διά τ' ἀμπερὲς ἀμφαγαπάζει·
Ἀλλὰ κασίγνητος γεγόνει ἐπ' ὀϊζύος ὥρην.
18 Ὅρκια πολλὰ πέλει, καὶ δεξιαὶ, ᾗσι πέποιθεν
Ἄφρων, ῥεῖα γὰρ ἐστὶν ὑπέγγυος ἀντὶ φίλοιο.
19 Ὧ περ ἔρις φίλη ἐστὶ, φίλη τέ οἱ ἐστὶν ἁμαρτάς·
Ὃς δ' ὑπερπλίῃσι θύρας μεγάροισιν ἔστησιν
Ὑψηλὰς ἐπέθηκεν, ὃ δίζεται αἰπὺν ὄλεθρον.

Gemma veluti eſt donum in oculis habentis
Pretioſum, gratioſúmque, ſuccedit autem quocunque ſe vertat,
Facilèque flectit animum viri, ad quem pervenerit.

Nutrit amicitiam qui iniquitatem tegit:
Qui verò dictum iterum revelat, charos disjungit ſocios.

Viri ſagacis valdè animum attingit objurgatio:
Qui & ſemel reprehenſus multò magìs perſuadetur,
Quàm centum verberibus cæſus in tergo ſtultus.

Solummodo defectionem quærit mala-machinans homo:
Quare adverſarius illi crudelis nuntius ibit.

Ursa orbata catulis homini occurrat:
Sic enim melius eſſet, quàm ſtultus in ſua ſtultitia.

Qui malum pro bono, gravem rependit compenſationem,
Ejus in ædibus mali non erit ceſſatio.

Sicut cùm quis pronam aquam emittit ferri
Cum ſtrepitu, illa autem ſtatim diffluens immurmurat,
Loco in declivi, multáſque ſordes attrahit,
Neque prorſus ſepta illam & obices cohibent:
Tale contentionis principium inter homines oritur:
Quamobrem deſiſte à lite priuſquàm contentionibus te-immiſceas

Qui juſtum dicit injuſtum, injuſtúmque juſtum
Eſſe, ambo odioſi Deo ſunt ſimiliter.

Quare ſatis eſt in manu ſtulti, quo poſſit
Sufficiens pretium dans emere prudentiam,
Illi autem hoc non curæ-eſt, animus verò ei alia cogitat

Diebus omnibus amicus, & perpetuò diligit:
Verùm frater natus eſt in calamitatis tempus.

Pacta multa ſunt, & dextræ, quibus confidit
Stultus, facilè enim eſt ſponſor pro amico.

Cui contentio amica eſt, amicum etiam ei eſt peccatum;
Qui autem præ ſuperbia januam ædibus ſuis
Excelſam apponit, is quærit gravem ruinam.

20 Ὦ σκολιὸς νόος ἐστὶν, ὃ μὲν κακὸν εὗρεν ὀπίσω·
Ὧ δὲ στρεπτὴ γλῶσσ', ἄτῃ ἐνέκυρσε βαρείῃ.
21 Οἷ αὐτῷ τέκε πένθος, ὃς ἄφρονα γείνατο παῖδα·
Οὐδὲ γέγηθε πατὴρ ἀποφώλιον υἷα φυτεύσας.
22 Φάρμακον ὣς ἐσθλὸν πέλεν ἀνέει γηθόσυνον κῆρ·
Ὀστέα δ' αὐαίνει κατακλώμενον ἔνδοθεν ἦτορ.
23 Ἐκ κόλποιο κρυφηδὸν ἐδέξατο δῶρον ἀλιτρὸς,
Ὄφρα δίκην κλέπτων σκολιὰς κρίνῃσι θέμιστας.
24 Πὰρ πινυτὸν φρόνις ἦλθε, καὶ ἀντίον ἵστατο φωτός·
Ἀνδρὸς δ' ἠλιθίοιο, καὶ ἄφρονα θυμὸν ἔχοντος
Ὀφθαλμοὶ φοιτῶσιν ἐπ' ἔσχατα πείρατα γαίης·
25 Πατρὸς ἑοῦ ὀδύνη πέλε παῖς ἀποφώλια εἰδὼς,
Μητέρι δ' ᾗ πικρόν τε γόον καὶ πένθος ἔθηκεν.
26 Οὐκ ἀγαθὸν θωὴν ἐπιθέσθαι ἀνδρὶ δικαίῳ·
Οὐδέ που ἀρχοὺς πλῆξαι ἐπ' ἰθείῃσι δίκῃσιν.
27 Ἀνήρ ἐστ' ἐχέμυθος, ὃς εὖ πέρ οἶδε νοῆσαι·
Καὶ πινυτῷ ἀγαθός τε καὶ ἤπιος ἔπλετο θυμός.
28 Ἄφρων, ἕως σιγᾷ, φρεσὶν ἄρτιος εἴδεται εἶναι,
Νηπύτιός περ ἐὼν, δοκέει δέ τε οὐκ ἀπινύσσειν·
Ὅς τ' ἀκέων τέτληκε νόῳ μελεδήματα κεύθων
Ἀσφαλέως, δοκέει πεπνυμένος ἔμμεναι ἀνήρ.

ΚΕΦ. ιη'.

1 ὍΣ τις ἑὸν κατὰ θυμὸν ἀπ' ἄλλων νόσφι λιάσθῃ,
Μήδεα παντοῖα φρεσὶ πολυκαλίμῃσιν ἐρευνᾷ,
Καὶ πᾶσαν πινυτὴν, τῇ τ' οἶος ἐὼν περ ὁμιλεῖ.
2 Νήπιος οὔποτε τέρπετ' ἐχεφροσύνῃ ἐρατεινῇ·
Ἥδετο δ' ὡς ἀνέφηνεν ἑοῦ μελεδήματα θυμοῦ.
3 Ὁππότ' ἀτάσθαλος ἦλθεν, ὄνειδος ἅμ' ἦλθε καὶ αἰδώς,
Αἰδώς τε, λώβη θ', ἣ ὀνείδεός ἐστιν ἑταίρῃ.
4 Ἀνέρος ἐκ λαιμοῖο ῥέει ἔπε' ὡς βαθὺ ὕδωρ·
Πηγή τε φρόνιος ποταμῷ πλήθοντι ἔοικεν.

Cui obliqua mens eſt, ille malum invenit poſtmodum :
Cui autem perverſa lingua, (ille) in ærumnam incidit gravem.

Sibiipſi genuit dolorem, qui ſtolidum generavit filium :
Neque gaudet pater qui inſipientem filium procreavit.

Medicamentum veluti bonum eſt homini lætum cor :
Oſſa autem exſiccat fractum intùs cor.

E ſinu clanculum, accipit donum improbus,
Ut jus celans obliqua ferat judicia.

Ad prudentem ſapientia venit, & coram ſtat viro :
Hominis autem ſtolidi, & inſipientem animum habentis
Oculi itant in extremas oras terræ.

Patris ſui mœror eſt filius inepta-ſciens.
Matri autem ſuæ amarum luctum & dolorem affert.

Non bonum (eſt) mulctam imponere viro juſto :
Neque principes percutere ob recta judicia.

Vir eſt ſermonis-continens, qui bene novit intelligere ;
Et prudenti bonus & lenis eſt ſpiritus.

Stultus, dum ſilet, mente ſanus putatur eſſe,
Et inſipiens licèt ſit, videtur tamen non deſipere :
Quíque mutus ſuſtinet in animo cogitationes celans
Tutò, videtur prudens eſſe vir.

CAP. XVIII.

Qui ſuo ex animo ab aliis ſeorſim ſeparat-ſe,
Conſilia omnigena animo prudenti ſcrutatur,
Et omnem ſapientiam, quâcum, ſolus quantumvis ſit, converſatur.
Stultus nunquam delectatur prudentiâ amabili :
Lætatur autem quamprimùm oſtenderit ſui cogitationes animi.
Quando improbus venit, opprobrium ſimul venit & dedecus,
Dedecus, & ignominia, quæ opprobrii eſt ſocia.
Hominis è gutture fluunt verba quaſi profunda aqua :
Fónſque ſapientiæ fluvio torrenti ſimilis eſt.

5 Οὐκ ἀγαθὸν χαρίσασθαι ἀλιτρῷ εἰνὶ δίκησιν,
Ἐσθλόν τε βλάψαι, σκολιὰς κρῖναί τε θέμιστας.
6 Χείλεα νηπυτίοιο κακὴν ἔριδα προφέρονται,
Πληγάς τε προκαλίζονται, καὶ ἕλκεα λυγρά,
Θυμοδακὴς γὰρ μῦθος ἔνι, στόμα τ᾽ ἐγρεκύδοιμον.
7 Ἄφρων οἷσι λόγοισιν ἐπίσπαστον κακὸν ἕξει,
Γλῶσσά θ᾽ οἱ ἀκριτόμυθος ἀεικέα πότμον ἐπῶρσε,
Χείλεά τε ψυχῇ παγίδα στονόεσσαν ἔθηκεν.
8 Ὡς ὁπότ᾽ ἄνθρωποι βεβλήαται ὀξέϊ χαλκῷ,
Τοῖαι ἐπεσβολίαι φιλοκερτόμου ἀνδρὸς ἔασιν,
Αἱ διά τ᾽ ἔγκατα πάντα, μέσην δέ τε γαστέρ᾽ ἔλασσαν.
9 Ὅς περ νωθής ἐστι, καὶ εἰν ἔργοισι μεθήμων,
Οὗτος ἀσώτῳ ἀνδρὶ κασίγνητος καὶ ἑταῖρος.
10 Εἶλαρ τ᾽ ἄρρηκτον, πύργος τ᾽ ὄνομ᾽ ἐστὶ Θεοῖο·
Εἰς ὃ φυγὼν σόος ἦλθε, καὶ οὐκ ἀπόλωλε δίκαιος.
11 Πλούσιος ἀκρόπολιν τὰ ἃ χρήματα, καὶ μέγ᾽ ἔρεισμα,
Τεῖχός θ᾽ ὑψηλὸν φῆ ἔμμεναι, ᾧ κε πεποίθῃ.
12 Κῆρ ὑπερηφανέον πρὸ μὲν ἦλθεν ὀϊζύος αἰνῆς·
Τιμῆς δὲ προπάροιθεν ἐνηείη ἐρατεινή.
13 Ὅς κεν ὑποκρίναιτο πρὶν ἂν σάφα μῦθον ἀκούσῃ,
Λώβη οἱ τόδε γ᾽ ἐστί, χαλιφροσύνη τε νόοιο.
14 Τλητὸν μὲν μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν,
Ὃς κακὰ κήδεα μοῦνος ἀνέχετο πολλὰ μογήσας·
Τίς δέ κεν οὐτάμενον τλαίη, κλασθέντα τε θυμόν;
15 Ἔμμορεν ἰδρείης κραδίη πεπνυμένου ἀνδρός·
Οὔατα δ᾽ ἰδμοσύνην καὶ μήδεα πυκνὰ μεταλλᾷ.
16 Δῶρον ὅ τις κεν δῶσι, προάγγελός ἐστιν ἄριστος·
Εὖ θ᾽ ὁδόν οἱ λείηνε, καὶ ἀντίον ἷζε μεδόντων.
17 Μή τι δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς·
Ὃς γὰρ πρῶτος ἔειπε, δοκεῖ μέγ᾽ ὑπέρτερος εἶναι·
Τῷ δ᾽ ἔπι δεύτερος ὦρτο, δίκας δ᾽ ὅγε μᾶλλον ἐρευνᾷ.
18 Κλήρῳ μὲν πεπαλάχθαι, ἔριν θυμαλγέα παῦσε.

Λῦσι

Non bonum eſt gratificari improbo in judicio,
Bonúmque lædere, & perverſa ferre judicia.

Labia ſtolida malam litem proponunt,
Verberáque provocant & vulnera ſæva,
Mordax enim ſermo ineſt, óſque tumultum excitans.

Stultus ſuis ſermonibus ultrò contractum malum habebit,
Linguáque ei garrula malum fatum incitat,
Labiáque animæ rete exitiale ponunt:

Sicut quando homines ſauciantur acuto ferro,
Talia dicteria conviciatoris hominis ſunt,
Quæ per inteſtina omnia, mediúmque ventrem penetrant.

Qui ſegnis eſt, & in operibus remiſſus,
Hic prodigo viro frater & ſocius.

Propugnaculum firmum, turríſque nomen eſt Dei:
In quam ſoſpes venit, nec perit juſtus.

Dives arcem ſuas divitias, & magnum fulcrum,
Murúmque altum profitetur eſſe, cui confidat.

Cor inſolens præcedit ærumnam gravem:
Honorem autem anteit humilitas amabilis.

Qui reſpondet priusquam clarè ſermonem audiverit,
Opprobrium ei hoc eſt, ſtultitiáque mentis.

Tolerantem quidem fata animum dederunt hominibus,
Qui malos dolores ſolus ſuſtinet, multa perpeſſus:
Quis autem vulneratum ferat fractúmque animum?

Sortitur ſcientiam cor prudentis viri:
Aures autem cognitionem, & conſilia ſolertia ſcrutantur.

Donum quod quis dederit prænuntium eſt optimum:
Benéque viam ei complanat, & ſtatuit (eum) coram principibus.

Nè cauſam judices priuſquàm amborum ſermonem audiveris:
Qui enim prior dixit, videtur longè ſuperior eſſe:
Poſt illum autem ſecundus oritur, judicia verò ille magis inveſtigat.

Sorti rem committere contentionem acerbam ſiſtit,

Λῦσέ τε νείκεα λυγρὰ μετ' ἀνδράσιν ἰφθίμοισι,
Καί σφιν ἐριζόντεσσι συνημοσύνας ἐφύτευσε.
19 Θυμὸς μὲν μέγας ἐστὶν ἀδελφοῦ χωομένοιο,
Οὐδὲ τάχ' ἐγνάμφθη, ῥᾷον νύ κεν ἄστυ ἁλῴη·
Τῶν δὲ κασιγνήτων ἔριδες καὶ νείκεα λυγρὰ,
Ὡς πύργου στιβαροῖο σιδήρεοί εἰσιν ὀχῆες.
20 Γλῶσσα μὲν ἀνθρώπου οἱ ἐοικότα μισθὸν ὀρέξει,
Καρπόν τε σπόρῳ ἶσον, ἄλις δέ οἱ οἷον ἔειπε,
Καὶ κορέσει μιν, ὅ,τι προφέροι χείλεσσιν ἑοῖσι.
21 Γλῶσσ' ἀγαθόν τε κακόν τε διδοῖ, δύναται δὲ μάλ' ἄμφω,
Ἢ ζωὴν ἄνδρεσσι φέρειν, ἢ κῆρα μέλαιναν·
Ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖον δέ τε γλώσσης
Καρπὸν ἀποδρέψεις, ἢ μὲν κακὸν, ἠδὲ καὶ ἐσθλόν.
22 Ἦ μάλ' ἀνὴρ ἀγαθὸν κτῆμ' εὗρεν, ὃς εὗρε γυναῖκα,
Καί ἑ Θεὸς φιλέει· ἀγαθὸν γάμος ἐστὶ βροτοῖσιν.
23 Ἐλλιτάνευσε πένης, ἱκέτης δέ τε εὔχεται εἶναι·
Ἀφνειὸς δ' ἀπαμείβετ' ἀταρτηροῖς ἐπέεσσι.
24 Χρὴ τὸν ἔχοντα φίλους, φίλα τε φρονέειν ἐνὶ θυμῷ,
Ἠδ' ἐπίηρα φέρειν· ἐπεί νυ κασιγνήτοιο
Πολλάκι πρότερος, καὶ φίλτερός ἐστιν ἑταῖρος.

ΚΕΦ. ιθ'.

1 ΚΡείσσων ἐστὶ πενιχρὸς ἀνὴρ, καὶ ἀμύμονα εἰδὼς,
Ἢ αφρων καὶ ἁμαρτοεπὴς, πολλὰ κτεατίσσας.
2 Οὐκ ἀγαθὸν ψυχὴν ἰδρείης ἄμμορον εἶναι·
Ἤμβροτε δ', ὃς λίην σπεύδει κραιπνοῖσι πόδεσσιν.
3 Οὐκ ἀρετᾷ βροτοῦ ἔργα χαλιφροσύνῃσιν ἑῇσιν·
Ἀλλ' ὅγε νηπιέῃσι κακῶν, ἐπὶ πήματι κύρσας,
Σκυζόμενος Θεῷ αὐτοῦ, ἔφη μιν οἱ αἴτιον εἶναι.
4 Πολλοὺς ἀνδρὶ φίλους ἄφενος καὶ πλοῦτος ἔθηκεν·
Οἰώθη δὲ πένης, ἑτάρου τ' ἀπονόσφι λιάσθη·
5 Μάρτυρος ὅς κεν ἔῃ ψεύστης, οὐκ ἔσσετ' ἀθῷος·

Dirimítque lites ſævas inter viros potentes,
Et ipſis certantibus pacta generat.
Animus gravis eſt fratris iraſcentis,
Neque citò flectitur, faciliùs vel urbs capi-queat:
Fratrum autem contentiones & jurgia ſæva,
Sicut turris firmæ ferrei ſunt vectes.
Lingua hominis ei convenientem mercedem præbebit,
Fructúmque ſementi æqualem, ſatíſq; illi (erit) quale dixerit.
Et ſatiabit illum, quod protulerit labris ſuis.
Lingua bonúmque malúmque dat, poteſt enim certè utrumque,
Vel vitam hominibus ferre, vel mortem atram:
Qualecunque dixeris verbum, talem linguæ
Fructum decerpes, ſive malum, ſive bonum.
Certè vir bonam poſſeſſionem invenit, qui invenit uxorem,
Et illum Deus amat: Bonum nuptiæ ſunt hominibus.
Obteſtatur pauper, ſuppléxque profitetur eſſe:
Dives autem reſpondet aſperis verbis.
Oportet habentem amicos, amica cogitare in animo,
Et (iis) gratificari: quandoquidem fratre
Sæpè fidelior, & amicior eſt ſodalis.

CAP. XIX.

MElior eſt pauper vir, & integra ſciens,
Quàm ſtultus, & in ſermonibus-peccans multa poſſidens.
Non (eſt) bonum animam ſcientiæ expertem eſſe:
Peccat autem qui nimiùm feſtinat velocibus pedibus.
Non ſuccedunt hominis opera ſtultitiâ ſuâ:
At ille ſtoliditate in malum damnum incidens,
Iraſcens Deo ipſi, dicit illum ſibi in cauſa eſſe.
Multos homini amicos opes & divitiæ parant:
Solus autem relinquitur pauper, & à ſocio longè ſeparatur.
Teſtis qui fuerit mendax, non erit inſons:

Οὐδὲ δίκην ὑπαλύξει ἀνήρ, ὃς ψεύδεα βάζει.
6 Πολλοὶ μὲν λίσσονται ἄνακθ', ἵνα μείλιχος εἴη·
Αὐτὰρ δῶρα διδόντι φίλα φρονέουσιν ἅπαντες.
7 Πτωχὸς ἀπήχθετο πᾶσι κασιγνήτοισιν ἑοῖσιν·
Ἦ νύ κε μᾶλλον ἑταῖροι ἀπ' αὐτοῦ τῆλε φύγοιεν·
Τοὺς ὃ μεταστρέψαι μεμαὼς ἐπέεσσι διώκει,
Ἀλλ' οὔ οἱ πάρα μὲν κεῖνοι, χατέοντί περ ἔμπης.
8 Ἣν ψυχὴν φιλέει, ὅς τε φρένας ἔλλαχεν ἐσθλάς·
Εὑρήσει τ' ἀγαθὸν, ὃς ἐπιφροσύνην ἐφύλαξεν.
9 Οὔποτε νήποινος ψευδὴς ἐπιμάρτυρος ἔσται·
Ψεύδεά θ' ὃς βάζει ἀνεμώλια, πάμπαν ὀλεῖται.
10 Νηπίῳ οὐκ ἐπέοικεν ἐϋφροσύνης ἐπιβῆναι,
Τερπωλῆς τ' ἐρατῆς· οὔτ', αἴσιμον οὖν θεράποντι
Σημαίνειν ἀρχοῖσι, καὶ ἰφθίμοισιν ἀνάσσειν.
11 Ὀψὲ χόλος πινυτὸν δύνει φρένας, οὔτι μάλ' ὦκα·
Τῷ δ' ὡς καλὸν ἔοικεν ὑπερβασίην παραμείβειν.
12 Ὥστε λέων βλοσυρὸς δεινὴν ἀνερεύγετο φωνὴν
Οὔρεος ἐν βήσσῃς, ἕκαθεν δέ τε γίνετ' ἀκουὴ,
Θῆρες ἄφαρ τρομέουσι, μέμυκεν δ' ἄσπετος αἰθήρ·
Τοῖος μὲν χόλος ἐστὶν ὑπερμενέος βασιλῆος·
Τοῦ δὲ χάρις τεθαλυῖα, πρόσωπά τε μειδιόωντα
Ἔρσης ὡς ῥαθάμιγγες ἐπὶ νεοθηλέα ποίην.
13 Ἄτη πατρὸς ἑοῖο πέλει ἀποφώλιος υἱός·
Νείκεα δ' αὖ ἀλόχου ῥανὶς ὕδατος ἐνδελεχὴς ὥς·
14 Οἶκος καὶ ζωὴ κλῆρος πατρώϊός εἰσι·
Δῶρον δ' Ἀθανάτοιο γυνὴ πέλε κέδν' εἰδυῖα·
15 Ὄκνος ἄγει βαθὺν ὕπνον, ἀδελφεὸν θανάτοιο,
Λυσιμελῆ· λιμὸς δέ τ' ἀεργῷ σύμφορος ἀνδρί.
16 Θυμὸν ἑόν τ' ἐφύλαξεν, ὅ, τις τ' ἐφύλαξεν ἐφετμήν·
Ὃς δ' ἀθέριζεν ὁδοὺς, οὐδ' ἐφράσατ' ἔργα, θανεῖται.
17 Δῶρον, ὅ τις πτωχῷ δοίη, Θεῷ ἐστι δάνειον·
Ὅς τέ οἱ ὧν ἔργων θήσει χαρίεσσαν ἀμοιβήν.

Παῖδα

Neque judicium vitabit homo, qui mendacia loquitur.

Multi orant regem, ut mitis ſit:
Verùm dona danti amicos ſe præbent omnes.

Pauper odio-habetur ab omnibus fratribus ſuis:
Certè magis ſocii ab illo longè fugiunt:
Quos ille convertere cupiens verbis proſequitur,
At non ei adſunt iſti, indigenti quantumvis.

Suam animam amat, qui intelligentiam nactus eſt bonam:
Inveniétque bonum, qui ſapientiam cuſtodit.

Nunquam impunitus falſus teſtis erit:
Mendaciáque qui loquitur vana, omnino peribit.

Non convenit ſtulto ad lætitiam pervenire
Gaudiúmque amabile: neque decorum igitur famulo
Dominari principibus, & fortibus imperare.

Tardè ira prudentis animum ſubit, neque valdè citó:
Illi autem quàm pulchrum videtur tranſgreſſionem præterire.

Sicut leo torvus terribilem eructat vocem
Montis in convallibus, longè verò fit auditio,
Feræ ſtatim tremunt, remugit autem ingens æther:
Talis quidem ira eſt præpotentis regis:
Illius autem favor floridus, vultúſque arridens
Roris veluti guttulæ ſuprà recens-virentem herbam.

Calamitas patris ſui eſt ſtultus filius:
Jurgia autem uxoris ſicut pluvia aquæ continua.

Domus & ſubſtantia hæreditas paterna ſunt:
Donum autem Immortalis uxor eſt prudens.

Pigritia ducit profundum ſomnum, fratrem mortis,
Membra-ſolventem: fames autem ignavo comes (eſt) viro.

Animam ſuam ſervat, quicunque ſervat mandatum Dei:
Qui autem contemnit vias (ejus) neque conſiderat opera, morietur.

Donum quod quis pauperi dederit, Deo eſt mutuum:
Qui & ei ſuorum operum reponet gratioſam talionem.

Filium

18 Παῖδευ τεὸν κολάσῃς, εἵως ἔτ' ἐλπίδος αἶσα·
Μηδέ τι σοι φειδωλὴ ἔπι φρεσὶ, κἂν μινυρίζῃ.
19 Ἀνὴρ κεν βαρύμηνις ἀεικέα μισθὸν ἄροιτο·
Εἰ γάρ μιν ῥύσαιο, πάλιν δέ τε πήματι κύρσει.
20 Κέκλυθι νῦν βουλῆς, ὑποθημοσύνην τε δέδεξο,
Ὄφρα γέ σοι πινυτός τε νόος μήκιστα γένηται.
21 Πολλὰ μὲν ἐν κραδίῃ ἀνδρὸς μελεδήματ' ἔασι,
Μήδεά τ' ἐν φρεσὶ πυκνά· Θεοῦ δ' ἐτελείετο βουλή.
22 Βούλετ' ἀνὴρ εὐεργὸς ἔμεν· τὸ δ' οἱ ἐστὶν ἐέλδωρ·
Παντὸς γὰρ ψεύστεω πολὺ φέρτερός ἐστι πενιχρός.
23 Ἀθανάτου φόβος ἐστὶ φερέσβιος· ὃς δέ μιν εἶχε,
Πάντων οἱ κέρδος ἔσται, ὅσα φρεσὶν ᾖσι μενοινᾷ·
Οὐδέ τι οἱ κακὴ αἶσα παρέσσεται, οὐδέ τ' ὄλεθρος.
24 Κακκρύψας ὀκνηρὸς ἀνὴρ ἔχει χεῖρ' ὑπὸ κόλπῳ·
Οὐδὲ τόσον τόλμησεν, ὅσον ποτὶ μάσακ' ἀεῖραι.
25 Πλήξῃς ἐμπαίκτην, τότε γὰρ φρένας ἠλεὸς ἔσται
Κερδαλέος, πληγῇσι γὰρ ἀλλοτρίῃσι διδαχθείς·
Νεικέσσῃς πινυτὸν, πολυϊδρείην τε νοήσει.
26 Ὃς πατρὸς βίοτόν τ' ὄλεσεν, καὶ μητέρ' ἀπῶσεν,
Ὃν γένος ᾔσχυνεν, καὶ ἐλέγχιστος πέλεν υἱός.
27 Χάζεο, τέκνον ἐμὸν, μὴ σωίθεο, μηδ' ἐπάκουσον
Τῆσδ' ὑποθημοσύνης, ἐπέων ἣ τ' ἤμβροτεν ἐσθλῶν,
Ἥ τε παρέπλαγξεν νόον ἀνέρος ἰδμοσυνάων.
28 Καδδὲ δίκην γελάσεν μάρτυς κακὸς, ἠδὲ θέμιστας·
Δυσσεβέων δ' ἀνδρῶν στόμ' ἀλιτροσύνην κατέδαψε.
29 Πολλὰ κάκ' ἐμπαίκτῃσι, καὶ αἴσιμον ἦμαρ ἕτοιμον,
Καὶ πληγαὶ νώτοισι χαλίφρονα θυμὸν ἐχόντων.

ΚΕΦ. κ'.

1 ἘΜπαίκτης οἶνος, μέθυ μαίνεται· ὃς δέ θ' ὑπ' αὐτοῦ
Πλάγχθη, νήπιός ἐστι, καὶ οὐ φρεσὶν ἄρτια εἰδώς.
2 Ὡς ὁπότε βρύχημα βαρυφθόγγοιο λέοντος

Ὠρώρει·

Filium tuum caſtiga, dum adhuc ſpei locus:
Neque tibi condonatio ſit in animo, etſi vagiat.

Homo, cujus-gravis-eſt ira acerbam pœnam feret:
Si enim illum liberes, rurſus in infortunium incidet.

Audi nunc conſilium, admonitionémque recipe,
Ut tibi ſapiens animus tandem fiat.

Multæ in corde hominis cogitationes ſunt,
Curæque in animo frequentes: Dei autem impletur conſilium.

Vult homo beneficus eſſe: hoc ei eſt deſiderium:
Quolibet autem mendaci multò præſtantior eſt pauper.

Immortalis(Dei)timor eſt vitam-afferens:qui autem illum habet,
Omnium ei ſatietas erit, quæ in animo ſuo optat:
Neque illi mala ſors aderit, neque exitium.

Abſcondens piger homo tenet manum ſub ſinu:
Neque tantum ſuſtinet, quantum ad os attollere.

Percutias deriſorem, tum autem animo ſtultus erit
Solers, verberibus etiam alienis doctus:
Increpes ſapientem, ſcientiámque intelliget.

Qui patris ſubſtantiam perdit, & matrem abigit,
Suum genus dedecorat, & probroſiſſimus eſt filius.

Abſcede fili mi, nè attende, neque audi
Hanc admonitionem, quæ verbis aberrat rectis,
Quæque errare-facit animum viri à ſcientia.

Juſtitiam irridet teſtis malus, & leges:
Impiorum autem hominum os nequitiam devorat.

Multa mala deriſoribus, & fatalis dies paratus,
Et plagæ tergis inſipientem animum habentium.

CAP. XX.

DEriſor vinum (eſt,) merum inſanit; qui autem per illud
Seductus fuerit, inſipiens eſt, nec in animo recta ſciens.

Sicut quando rugitus grandiſoni leonis

Oritur,

Ὠρώρει· τοῖον βασιλῆος χωομένοιο
Δεῖμα πέλει· εἰς δ' αὐτὸν ὅγ' ἤλιτεν, ὅς κ' ἐρέθῃσι.
3 Ληγέμεναι ἔριδος κακομηχάνου ἀνέρι καλόν·
Ὅσσοι δ' ἠλίθιοι, πολυπράγμονές εἰσιν ἅπαντες.
4 Οὐκ ἀρότρει νωθὴς ὑπὸ χείματος ἀργαλέοιο·
Τῷ τε πτωχεύσει θέρεος κρατερῆς ὑπ' ἀνάγκης,
Σχέτλιος, οὐδέ τις οἱ κοτύλην καὶ πύρνον ὀρέξει.
5 Μῆτις ἐνὶ κραδίῃ βαθεῖ ὕδατί ἐστιν ὁμοίη·
Τὴν δέ κεν ἐξαρύσειεν, ὃς εὖ πέρι οἶδε νοῆσαι·
6 Ἀνέρες ὡς τὰ πλεῖστα διαγγελέουσι καὶ αὐτοὶ
Σφὰς εὐεργεσίας· πιστὸν δέ κε τίς βροτὸν εὕροι;
7 Ἐσθλὸς ἀνὴρ περιβέβηκεν ἐν εὐηθίῃσι νόοιο·
Παῖδες ἑοὶ μάκαρες καὶ ὄλβιοί εἰσι μετ' αὐτόν.
8 Σκηπτοῦχος βασιλεὺς, ὃς ἐνὶ θρόνῳ ἵζε δικάζων,
Ὀφθαλμοῖο βολῇσι κακῶν ἐκέδασσεν ὀμίχλην.
9 Τίς κ' εἴπῃσι βροτὸς, Καθαρόν νύ μοι ἦτορ ἔθηκα,
Νῦν δέ τ' ἀναίτιός εἰμι, καὶ ἄμμορος ἀμπλακιάων;
10 Πολλὰ μὲν, ἄλλο καὶ ἄλλο, τάλαντά τε, μέτρα τε πολλὰ,
Ἄμφω ἀπόβλητ' ἐστὶ Θεῷ, ὁ δέ τ' ἔστυγεν ἄμφω.
11 Ῥεῖα δ' ἀρίγνωτος πέλεται παῖς οἷσιν ἔοργεν,
Ἢ μὲν ἀμύμονα ἔργα καὶ αἴσιμα, ἠὲ καὶ οὐκί.
12 Οὖς ἀΐον, καὶ ὄμμα βλέπον, Θεὸς ἔπλασεν ἄμφω.
13 Μὴ σὺ φίλυπνος ἔῃς, ἵνα μὴ πτωχός τε γένηαι·
Ὀφθαλμοὺς σοὺς ἄνοιξον, ἅλις δέ τοι ἔσσεται ἄρτου.
14 Ἔστι κακὸν, κακόν ἐστιν ἀνάξιον, οὐδενόσωρον·
Ὣς ἔφατ' ὠνητὴς, εὖτε πρίατ', αὐτὰρ ὄπισθεν
Ἐξ ἀγορῆς ἄψορρον ἔβη κεχαρηότι θυμῷ
Οἴκαδ', ἀγαλλόμενος, τότε δ' εὔχεται οἷσιν ἔρεξεν,
Οἷόν τε κτέρας εὗρε, καὶ οὐ μέγαν ὦνον ἔδωκεν.
15 Ἔστιν ἅδην χρυσοῖο, λίθων δέ τε τιμηέντων·
Γλῶσσα δὲ καὶ πινυτὴ ἐρίτιμος μαργαρίτης.
16 Τοῖο χιτῶνα λάβοις, ὃς ὑπέγγυος ἀλλοδαποῖο

Γίνεται,

Oritur: talis Regis irati
Terror eſt: contra ſeipſum autem peccat, qui provocat.
Ceſſare à contentione mala-machinante homini pulchrum:
Quotquot autem ſtolidi(ſunt,)multis-negotiis-ſe-immiſcent omnes.
Non arabit piger præ frigore duro:
Quapropter mendicabit in æſtate validam ob neceſſitatem,
Miſer, nec quiſquam ei poculum-aquæ, & fruſtum-panis præbebit.
Conſilium in corde profundæ aquæ eſt ſimile:
Sed illud depromet, qui bene admodum novit intelligere.
Viri ut plurimùm enuntiabunt etiam ipſi
Sua beneficia: fidelem autem quis hominem invenire queat?
Juſtus vir progreditur in Juſtitia mentis;
Filii ejus felices & beati ſunt poſt ipſum.
Sceptriger Rex qui in throno ſedet judicans,
Oculi jactu malorum diſſipat caliginem.
Quis dicere queat mortalis, Purum mihi cor feci,
Nunc autem inſons ſum, & expers peccatorum?
Varia, aliud & aliud, pondera, menſuræque multæ,
Ambo abominatur Deus, ille autem odit ambo.
Facilè autem innoteſcit puer, eò quòd tale fecerit,
Sive juſta opera, & æqua, ſive non.
Aurem audientem, & oculum videntem Deus formavit utrunque.
Nè ſomnolentus ſis, nè pauper etiam fias:
Oculos tuos aperi, ſatis autem tibi erit panis.
Eſt malum, malum eſt, indignum (pretio) contemptibile,
Sic ait empor, dum emit: verùm poſtea
E foro regreditur læto animo
Domum, exultans, tum autem gloriatur, quale fecit,
Qualémque poſſeſſionem acquiſivit, & non magnum pretium dedit.
Eſt ſatis auri lapidúmque pretioſorum:
Sed & lingua ſapiens pretioſa margarita.
Ejus tunicam ſume, qui ſponſor peregrini

Γίνεται, ἀλλοδαπῆς ὅς τ' ἐγγυός ἐστι γυναικός,
Ῥύσια τοῖο λάβοις, μή πως χρεῖος ὑπαλύξας
Οἴχηται φεύγων, πρὶν αἴσιμα πάντ' ἀποτίσαι.
17 Ἀνέρι μὲν γλυκὺς ἄρτος, ὃν οἱ πόρε κέρδεα λυγρά·
Τὸ στόμα δ' οἱ μετόπισθεν ἐνίπλεον ψαμάθοιο.
18 Βουλῆσιν πυκινῇσι νοήματα πάντα τελεῖται·
Βουλαῖς δ' εὖ βούλευε, ὅταν πόλεμον τολυπεύῃς.
19 Ἀκριτόμυθος ἀνὴρ κεκρυμμένα δήνεα φαίνει,
Καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον·
Τῷ δὲ σὺ μήποθ' ὁμίλει, ὃς αἱμυλίοισι λόγοισι
Παρπεπιθὼν ἔκλεψε νόον πύκα περ φρονεόντων.
20 Ὅς γε καταρᾶται πατέρι ᾧ, ἠὲ τεκούσῃ,
Αὐτοῦ λύχνος ἀπέσβη ἐνὶ ζόφῳ ἠερόεντι.
21 Εἴπερ τις τὰ πρῶτα τάχα κλήροιο λάχῃσιν,
Εἰς ἄφενος σπεύδων, ἀτὰρ οὐκ ἀπονήσετ' ὀπίσσω.
22 Μὴ σὺ κακὸν φαίης ἀποτισέμεν· Ἀθανάτῳ δὲ
Ἔργον ἐπιτρέψαις· ὃ γὰρ ὕβριος ἐξαναλύσει.
23 Ἐχθρὰ Θεῷ περὶ κῆρι τάλαντά τε ἄλλο καὶ ἄλλο·
Οὔτ' ἀγαθὸν πλάστιγξ ἑτερόρροπος, ἠδ' ἀπατηλή.
24 Ἐκ Θεοῦ ἴχνια φωτὸς ἢ ἔνθ', ἢ ἔνθα κίοντος·
Πῶς οὖν οἶμον ἑὸν δειλὸς βροτὸς αὐτὸς ἀνέγνω;
25 Ὅστις ἐδάρδαψε χρῆμ' ἱερὸν ἄφρονι λύσσῃ,
Νήπιος ἣ ψυχῇ παγίδα στονόεσσαν ἔθηκεν·
Ὅς τε μετ' εὐχωλὰς διά τ' εἴρεται ἠδὲ μεταλλᾷ
Πῶς κεν ὑποστείλαι, ὅδ' ὁμοίης ἔμμορεν αἴσης.
26 Δυσσεβέας σκέδασεν βασιλεὺς πεπνυμένα εἰδώς,
Ὡς ὅτε λικμητὴρ λεπτὰς τροχῷ ἐσκέδασ' ἄχνας·
Ὡς τροχὸν ἀμφ' αὐτοῖσι βαλών, ὀδύνῃσιν ἔδωκεν.
27 Πνεῦμα μὲν ἀνθρώπου ἱρὸν δαίος ἐστὶ Θεοῖο·
Λάμπει δ' ἐν στήθεσσι, μυχοὺς δέ τε γαστρὸς ἐρευνᾷ.
28 Μειλιχίη τε καὶ ἀτρεκίη φρουρεῦσιν ἄνακτα·
Μειλιχίη τε θρόνου βασιληΐου ἐστὶν ἔρεισμα.

Ἀλκὴ

Fit, & qui peregrinæ ſponſor eſt mulieris,
Pignora ejus accipe, nè debito elapſus
Abeat fugiens, priusquam æqua omnia perſolverit.

Homini quidem dulcis panis, quem ei præbuerunt fraudes malæ:
Os autem ei poſteà plenum ſabulo.

Conſiliis prudentibus cogitationes omnes perficiuntur:
Conſilia autem bene agita, cùm bellum conficias.

Garrulus homo occulta conſilia oſtendit,
Et aliquod verbum emittit, quod non dictum melius:
Cum illo autem nè verſare, qui blandis ſermonibus
Pelliciens fallit animum quantumvìs prudentium.

Qui execratur patrem ſuum, aut matrem,
Ejus lucerna extinguitur in caligine obſcura.

Etiamſi quis primùm citò hæreditatem nactus fuerit,
Ad divitias feſtinans, tamen non (ex ea) fructum capiet poſtmodúm.

Nè tu malum dicas (te) remuneraturum: Immortali autem
Rem committas: ille enim ab injuria liberabit.

Odioſa Deo in corde pondera, aliud, & aliud:
Neque bonum bilanx in alteram partem vergens, & fallax.

Ex Deo greſſus hominis, ſive huc, ſive illuc euntis:
Quomodo igitur viam ſuam miſer mortalis ipſe novit?

Quicunque devorat rem ſacram ſtolidâ rabie,
Inſipiens, ſuæ animæ laqueum funeſtum ponit:
Qui autem poſt vota inquirit, & interrogat,
Quomodo ſubtrahat, ille par obtinet fatum.

Impios diſſipat rex prudentia ſciens,
Sicut quando ventilator tenues rotâ diſſipat paleas:
Sic rotam illis injiciens, cruciatibus (eos) afficit.

Spiritus hominis ſacrum lumen eſt Dei:
Lucet autem in pectore, & penetralia ventris ſcrutatur.

Clementia & veritas cuſtodiunt regem:
Clementiáque throni regalis eſt ſuſtentaculum.

29 Ἀλκὴ χάρμα νέων· πολιαὶ δέ τ' ἄγαλμα γερόντων.
30 Σμώδιγγές τε καὶ ὠτειλαὶ κακὸν ἐξεκάθηραν·
Ὡς πληγαὶ ἀκέσαντο μυχοίτατα μήδεα θυμοῦ.

ΚΕΦ. κα'.

1 ΤΟῖος μὲν νόος ἐστὶν ἐπιχθονίου βασιλῆος,
Οἷον ἐπ' ἦμαρ ἄγῃσιν ἄναξ ὃς ἐν αἰθέρι ναίει·
Αὐτοῦ γὰρ κραδίη ἐνὶ χείρεσσίν ἐστι Θεοῖο,
Ὅς μιν ὅπως ἐθέλει, ῥεῖα τρέπει ἔνθα καὶ ἔνθα,
Ὡς ὀχετηγὸς ἀνὴρ ὕδατος ῥόον ἡγεμονεύων.
2 Πᾶσ' ὁδὸς ἀνθρώποιο δοκεῖ μάλ' οἱ ἔμμεναι ἐσθλή·
Ἀλλὰ Θεὸς κραδίας σταθμήσατο, καὶ φρένας ἀνδρῶν.
3 Αἴσιμα ἔργα δίκην τε θέλει Θεὸς, ἠέπερ ἱρὰ,
Εὐνομίην θ' οἱ μᾶλλον ἅδε φρεσὶν, ἠὲ θυηλή.
4 Ὄμμ' ὑπερηφανέον, κραδίη θ' ὑπερηνορέουσα,
Ἄμφω ἀλιτροσύνη· ἄροτος γὰρ κακῶν σφιν ὅμοιος.
5 Αἰὲν ἄοκνος ἀνὴρ μελέτῃ μέγαν οἶκον ὀφέλλει·
Χρειοῖ δ' ἔμπεσε μούνῃ, ὅ, τε θράσει προβέβηκε.
6 Γλώσσῃ ψευδαλέῃ ἄφενος καὶ πλοῦτον ἀγείρειν,
Οὐλόμενον κακόν ἐστι, κενοφροσύνη τε νόοιο,
Πλαγχθεῖσ' εἰνὶ βροτοῖσι λιλαιομένοις θανέεσθαι.
7 Ὕβρεις δυσσεβέων σφιν ἐοικότα πότμον ἐφήσει·
Οὕνεκ' ἀπηνήναντο δίκην, καὶ αἴσιμα ἔργα.
8 Πολλῶν ἀνθρώπων σκολιαὶ φρένες, ἔργα θ' ἑλικτά·
Ὃς δέ τε ἁγνὸς ἔῃ καὶ ἀμύμων, αἴσιμα ῥέζει·
9 Μουνὰξ εἰνὶ μυχῷ τέγεος ναίειν μέγ' ἄμεινον,
Ἢ δόμῳ ἐν μεγάλῳ μετ' ἀταρτηροῖο γυναικὸς,
Ἧ τ' αἰεὶ ἔριδές τε φίλαι, καὶ νείκεα λυγρά.
10 Φαῦλος ἀνὴρ κακοεργίην φρεσὶν ᾗσι μενοινᾷ·
Οὐδ' ὁ πέλας περ ἑῷ κεχαρισμένος ἔπλετο θυμῷ,
Οὔτε μιν ἐσθλὸν ἔοργ', οὔθ' οἱ φίλα δήνεα οἶδεν.
11 Ὁππότε λωβητῆρι τίσις καὶ μοῖρα γένηται,

Robur gloriatio juvenum: canicies autem (eſt) ornamentũ ſenum.

Vibices, & vulnera malum expurgant:
Sic verbera ſanant penitiſſimas cogitationes animi.

CAP. XXI.

TAlis animus eſt terreſtris regis,
Qualem indies inducit rex, qui in cœlo habitat.
Ejus enim cor in manibus eſt Dei,
Qui id, prout vult, vertit huc, & illuc,
Sicut aquæ-ductor homo aquæ rivum ducens.
Omnis via hominis videtur ei valdè eſſe bona:
Sed Deus corda ponderat, & mentes virorum.
Juſta opera, judiciúmque mavult Deus, quàm ſacrificia,
Æquitáſque ei magìs placet in animo, quàm victima.
Oculus ſuperbus, & cor elatum,
Ambo iniquitas: aratio autem malorum iis ſimilis.
Semper impiger homo curâ magnam ſubſtantiam auget:
In egeſtatem autem incidit ſolam, qui temeritate excedit.
Linguâ mendaci opes & divitias colligere
Perniciosum malum eſt, vanitáſque mentis,
Huc illuc jactata inter homines cupientes mori.
Violentia impiorum ipſis meritam mortem afferet:
Quoniam recusârunt judicium, & juſta opera.
Multorum hominum obliqua mens, perverſáque opera:
Qui autem purus fuerit & integer, recta agit.
Solitarium in angulo tecti habitare multò melius,
Quàm domo in magna cum moleſta muliere,
Cui ſemper contentiones gratæ, & jurgia ſæva.
Improbus homo maleficentiam in animo ſuo meditatur:
Neque vel proximus ejus gratus eſt animo,
Neque illi bene-facit, neque illi amica conſilia novit.
Quando convitiatori pœna & fatum contingit,

Καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησεν·
Ἰδμοσύνην δ' ἄρ ἔδεκτο διδασκόμενός τε περίφρων.
12 Εὖ ἐνόησε δίκαιος ἐνὶ φρεσὶν οἶκον ἀλείτου·
Δυσσεβέας δ' ἀνέτρεψε Θεὸς σφετέρης ἕνεκ' ἄτης.
13 Πτωχοῦ λευγαλέοιο ὃς οὐκ ὄθετ', οὐδ' ἀλεγίζει,
Ἀλλ' ἐὸν οὖας ἔβυσε, καὶ οὐκ ἐπάκουσε λιτάων
Λισσομένου, καί τ' αὐτὸς ὁμῶς μετόπισθε βοήσει,
Οὐδεὶς γὰρ πρόφρων οἱ ἵλαον οὖας ἐρείσει,
Οὐδ' ἱκέτεω ὄπ' ἀκούσει, ὅτε χρειώ μιν ἱκάνῃ.
14 Δῶρον κρυπτάδιον θέλγει φρένα χωομένοιο,
Καὶ γέρας ἐν κόλπῳ χόλον ἄγριον οἶδεν ἀκεῖσθαι.
15 Αἴσιμα ἕρδοντες λίην κεχάροντο δίκαιοι·
Πότμος δέ σφιν ἐπῆλθ', οἷς σχέτλια ἔργα μέμηλεν.
16 Ὃς πλάγχθη ἀπονόσφιν ὁδοῦ πινυτῆς ἐρατεινῆς,
Κείσεται εἰν ἀΐδαο μέσῳ νεκύων ἐν ὁμίλῳ.
17 Πτωχὸς ἀνὴρ ἔσται, ὃς εὐφροσύνῃσιν ἐτέρφθη
Λίην· οὐδ' ἀφνειὸς, ὃς οἴνῳ καὶ λίπ' ἐλαίῳ.
18 Ἀντὶ δικαίου ἀνδρὸς ἀτάσθαλός ἐστιν ἄποινον,
Καὶ κακὸς ἀντ' ἀγαθοῖο, καὶ ἴσταται ἢ ἐνὶ μοίρῃ.
19 Βέλτερόν ἐστ' οἶον ναίειν ἐν ἐρημάδι γαίῃ,
Ἢ μετ' ἀταρτηροῖο καὶ ὀξυχόλοιο γυναικὸς,
Ἥ τ' ἄνδρας νείκεσσεν ὀνειδίοις ἐπέεσσι.
20 Θησαυρὸς καὶ ἔλαιον ἐχέφρονος ἀνδρὸς ἐν οἴκῳ,
Ἱμερόεις θησαυρός· ἐδάρδαψεν δέ μιν ἄφρων.
21 Ἀμφότερον, θαλερήν τε δίκην, ἔλεόν τε διώκων,
Τιμήν τε, ζωήν τε, δικαιοσύνην τε κιχάνει.
22 Ἰφθίμων ἀνδρῶν πινυτὸς πόλιν εἷλε κατάκρας,
Τείχεος ἐπεμβεβαώς· (βουλὴ δέ τε φερτέρη ἀλκῆς)
Καὶ κράτος ὃν κατέλυσε, καὶ ἕρματα τοῖσι πέποιθεν.
23 Ὃς στόμα τε γλῶσσάν τε περιφραδέως ἐφύλαξεν,
Ἣν ψυχὴν ἐφύλαξε, κακῶν τ' ἐρρύσατο πολλῶν.
24 Οὔνομ' οἱ ἐμπαίκτης, καὶ ὑπερφίαλος, καὶ ἀγήνωρ,

Ὃς

Etiam inſipientem ad prudentiam adducit:
Scientiámque recipit etiam,cum docetur, ſapiens.
Bene obſervat juſtus in animo domum improbi:
Impios autem ſubvertit Deus ſuam ob noxam.
Pauperem miſerum qui non curat neque conſiderat,
Sed ſuam aurem obturat, & non audit preces
Orantis, & ipſe pariter poſteà clamabit,
Nemo autem propenſus ei propitiam aurem inclinabit,
Neque ſupplicis vocem audiet, quando egeſtas ad eum pervenerit
Donum occultum placat animum irati,
Et præmium in ſinu iram ferocem novit ſanare.
Honeſta facientes admodum lætantur juſti:
Interitus autem illis ſupervenit, quibus nefaria opera curæ ſunt.
Qui aberrat à via prudentiæ amabilis,
Jacebit in inferno medio mortuorum in cœtu.
Pauper homo erit, qui lætitiâ delectatur
Nimium: neque dives, qui vino & pingui oleo.
Pro juſto viro improbus erit redemptionis pretium,
Et malus pro bono, & ſiſtitur ejus vice.
Melius eſt ſolum habitare in deſerta terra,
Quàm cum moleſta & iracunda fœmina,
Qui viros inſectatur probroſis dictis.
Theſaurus (eſt) & oleum ſapientis viri in-domo,
Optabilis theſaurus: devorat autem illum ſtultus.
Utrúmque, florentémq; juſtitiam, miſericordiámque ſectans,
Honorémque,& vitam, juſtitiámque invenit.
Fortium virorum ſapiens urbem expugnat funditùs,
Murum conſcendens (conſilium præſtantius robore)
Et vim ejus diſſolvit, & præſidia, quibus confidit.
Qui os & linguam prudenter cuſtodit,
Suam animam cuſtodit, & à malis liberat multis.
Nomen ei deriſor, & ſuperbus, & inſolens,

Ὃς θυμῷ εἴκων μεγάλῳ ὑπέροπλον ἔοργεν.
25 Ἄνδρ᾽ ὀκνηρὸν ἑὸς πόθος ἔκτανεν, οὕνεκα πολλῶν
Ἧσιν ἐελδόμενός περ ἐνὶ φρεσὶν οὐδὲν ἔχεσκε·
Τοῦ γὰρ χεῖρες ἀεργοί, ἀναινόμεναι πονέεσθαι.
26 Πᾶν δ᾽ ἦμαρ ποθέει τι, κόρος δέ μιν οὔποθ᾽ ἱκάνει
Ἱμέρῳ ἀλλήκτῳ βεβολημένον· ἀλλὰ δίκαιος
Περιφρονέως πολλοῖσι χαρίζεται, οὐδ᾽ ἔπι φειδώ.
27 Ἱερὰ δυσσεβέων στυγέει Θεός· ὡς πολὺ μᾶλλον
Ὁππότ᾽ ἀνὴρ ἔρδῃσιν ἀτασθαλίῃσι νόοιο.
28 Ψευδὴς μάρτυς ὀλεῖται· ὁ δ᾽ οὔασιν οἷσιν ἀκούσας
Φθέγξεται, ᾗ θέμις ἐστίν, ἀπηλεγέως ἀγορεύων
Νωλεμές· οὔτ᾽ αἰδοῖ ἀκέων ἔσετ᾽ εἰνὶ δίκῃσιν.
29 Ἀνὴρ μὲν κακοεργὸς ἑὴν κάρτυνεν ὀπωπήν·
Ἐσθλὸς δ᾽ εὖ ἐνόησεν, ἑήν τ᾽ ἴθυνε κέλευθον.
30 Οὐ νόος, οὐ πινυτή, οὐδὲ φρένες, οὐδέ τι βουλὴ
Καί νύ περ ἀστεμφὴς χραισμεῖ κατέναντι Θεοῖο.
31 Ἵππος ἐφ᾽ ὑσμίνην καὶ ἀρήϊον ἦμαρ ἑτοῖμος·
Νίκη δ᾽ ἐκ Θεοῦ ἐστιν· ὃ γὰρ ταμίης πολέμοιο.

ΚΕΦ. κβ΄.

1 Βέλτερόν ἐστ᾽ ὄνομ᾽ ἐσθλὸν ἔχειν, ἢ χρήματα πολλά·
Ἡ δὲ χάρις χρυσοῦ τε καὶ ἀργύρου ἐστὶν ἀμείνων.
2 Πλούσιος ἠδὲ πένης ξυμβλήτην ἀλλήλοιιν·
Τοὺς δὲ Θεὸς σύμπαντας ἑῇ τεκτήνατο χειρί.
3 Ῥεῖα κακὸν προτιόσσετ᾽ ἀνὴρ πεπνυμένα εἰδώς,
Καὶ λάθεν· ἠλίθιοι δὲ πρόσω κίον, οὐδ᾽ ἐνόησαν,
Βὰν δὲ κατάντικρυ, καὶ ἀεικέα μισθὸν ἄροντο.
4 Αἰδοῖ, μειλιχίῃ τε, φόβῳ ἅμα τ᾽ Ἀθανάτοιο
Πλοῦτός τε ζωή τε ἰδὲ κλέος ἐσθλὸν ὀπηδεῖ.
5 Ῥάμνοι καὶ παγίδες σκολιόφρονος εἰν ὁδῷ εἰσι·
Τῆλε δ᾽ ἀπ᾽ αὐτῶν ἐσθ᾽ ὃς ἑὴν ψυχὴν ἐφύλαξε·
6 Παῖδ᾽ ἔτ᾽ ἐόντα δίδαχ᾽ ὁδὸν, ἣν ἐπέοικεν ὁδεύειν·

Qui furori cedens magno arroganter agit.

Pigrum ſua cupiditas interficit, propterea quòd multa
Suo appetens in animo nihil habet:
Ejus enim manus ignavæ, recuſantes laborare.

Toto die deſiderat aliquid, ſatietas antè illum nunquam occupat
Cupiditate inceſſante percitum: ſed juſtus
Lubenter multis gratificatur, neque (illi) adeſt parſimonia.

Sacrificia impiorum abominatur Deus: quàm multò magis
Quando homo (ea) offert improbitate mentis?

Falſus teſtis peribit; qui autem auribus ſuis audivit,
Eloquetur, quatenus fas eſt, audacter dicens
Continuè; neque præ-pudore tacitus erit in judicio.

Homo maleficus ſuam obdurat faciem:
Probus autem bene conſiderat, ſuámque ordinat viam.

Non mens, non ſapientia, neque prudentia, neque conſilium
Quantumvis firmum prodeſt contra Deum.

Equus ad pugnam, & bellicum diem paratus:
Victoria autem à Deo eſt: ille enim diſpenſator belli.

CAP. XXII.

MElius eſt bonum nomen habere, quàm divitias multas:
Et gratia auro atque argento eſt præſtantior.

Dives & pauper occurrunt ſibi mutuó:
Hos verò Deus unà-omnes eâdem fabricavit manu.

Facilè malum prævidet vir ſapiens,
Et latet: ſtulti autem ultrà progrediuntur neque conſiderant,
Eunt autem ex-adverſo, & malam mercedem reportant.

Modeſtiam, manſuetudinémque, timorémque ſimul Immortalis
Divitiæque, vitáque, & gloria bona comitantur.

Spinæ, & laquei perverſa cogitantis in via ſunt:
Procul autem ab illis eſt qui ſuam animam cuſtodit.

Puerum adhuc exſiſtentem doce viam quâ oportet incedere:

Τὴν δ' οὔπω καταλείψει, ὅταν μιν γῆρας ἔχῃσιν.
7 Ἀφνειὸς κρατέει, καὶ κοίρανός ἐστι πενιχροῦ·
Τῷ δὲ δανείζοντι δμῶς γίνεται ὅς κε λάβῃσι.
8 Ὕβριν ἀνὴρ σπείρων ματίην δολόεσσαν ἀμήσει,
Νήπιος, οἷς ἐόργην· ἐν δέ τε ῥάβδος ὀλεῖται,
Τῇ τ' ἄλλους ἔπληξ', ὅτε μιν χόλος ἄγριος ἦρει.
9 Ὅς κ' εὐεργὸς ἔῃ, καὶ μείλιχον ὄμμα πιαίνῃ,
Ὄλβιος· οὕνεχ' ἑοῦ ἄρτου πτωχοῖσιν ἔδωκε.
10 Χλευαστὴν ἔκβαλλ', ἔξεισι γὰρ νεῖκος ἅμ' αὐτῷ,
Ἀλλά γε παύσοντ' ἔρεις, κἀκ' ἐλέγχεά τ' οὐκέτ' ἔσονται.
11 Ὃς φιλέει νόον ἁγνὸν, ἄναξ φίλος ἔσσεται αὐτῷ,
Οὕνεκά οἱ τεθαλυῖα χάρις χείλεσσιν ἐφίζει.
12 Ἰδμοσύνην ἐφύλαξε Θεοῦ πανεπίσκοπον ὄμμα·
Ὃς γὰρ λόγους σκέδασσε καὶ ὤλεσεν ἀνδρὸς ἀλείτεω.
13 Εἶπεν ἀεργὸς ἀνήρ, Λῖς εἶν ὁδῷ ἐγγύθι κεῖται·
Ἐξελθεῖν τρομέω, μή πως οἱ κύρμα γένωμαι.
14 Παλλακίδων λαιμὸς βόθρος βαθύς· ἐν γὰρ πεσεῖται
Τῷδε καταπρηνὴς, ὃς ἀπήχθετο Παμβασιλῆϊ.
15 Ἀφροσύνη πέλε παιδὸς ἐνὶ φρεσὶ νηπιάχοιο,
Φαίης κεν δεσμοῖσι διηνεκέεσσι δεδέσθαι·
Ἀλλά μιν ἐξελάσει ῥάβδος πύκα πεπληγυῖα.
16 Πτωχὸν ὃς ὑβρίζει, ἵνα οἱ ποθὲν οἶκον ὀφέλλῃ,
Πλουσίῳ ὅς τε δίδοι, χρειὼ σφέας ἵξεται ἄμφω.
17 Κέκλυθι νῦν μύθους ἀνδρῶν πύκα περ φρονεόντων,
Ἐσθλά τε μήδεα λέξω, καὶ ἐν φρεσὶ βάλλεο σῇσι·
Καί τ' ἐμέθεν ξύνες ὦκα, φίλον τέκος· οὔατ' ἔρειδε,
Οὔατα καὶ κραδίην πολυϊδρείῃσιν ἐμῇσιν.
18 Εἰ γὰρ ἐνὶ πραπίδεσσι μάλ' ἔνδοθι ταῦτα φυλάσσῃς,
Ἡδέα τ' ἔσσονται, καὶ σῷ κεχαρισμένα θυμῷ,
Θυμῷ, καὶ χείλεσσιν ἀρηρότα πάγχυ τεοῖσιν.
19 Ὄφρά κε γίνηαι πίσυνος Θεῷ αἰὲν ἐόντι,
Τοὔνεκ' ἐγὼ τάδε σοι, σοὶ σήμερον ὧδ' ἀναφαίνω.

Eam autem nequaquam relinquet, cùm illum ſenectus occupaverit.
Dives imperat, & dominatur pauperi:
Mutuum verò danti ſervus fit qui accipit.
Injuriam homo ſeminans vanitatem fallacem metet,
Stultus, eò quòd ſic fecerit; ejus autem virga peribit,
Quâ alios percutit, cùm illum ira ſæva occupat.
Qui beneficus eſt, & mitem oculum intendit,
Beatus: quoniam de ſuo pane pauperibus dat:
Deriſorem ejice, exibítque contentio cum illo,
Sic & ceſſabit lis, maláque probra non ampliùs erunt.
Qui amat mentem puram, rex amicus erit illi,
Quoniam illi florida gratia labris inſidet.
Scientiam ſervat Dei omnium-inſpector oculus:
Is autem ſermones diſſipat & diſperdit hominis improbi.
Dicit ignavus homo, Leo in via propè jacet:
Egredi metuo, nè fortè illi præda fiam.
Meretricum guttur fovea profunda eſt: incidit autem
In eam præceps, qui inviſus-fuerit omnium-regi.
Stultitia eſt pueri in mente parvuli,
Dixeris vinculis continuis (illi) alligatam eſſe;
Sed illam expellet virga prudenter verberans.
Pauperem qui opprimit, ut ſibi alicunde ſubſtantiam augeat,
Et diviti qui dat, indigentia illos invadet ambos:
Audi nunc ſermones virorum ſapientum,
Bonáque conſilia accipe, & in animo perpende tuo:
Et mihi attende ſtatim, chare fili; aures applica,
Aures & cor ſcientiæ meæ.
Si enim in præcordiis omnino intus hæc cuſtodias,
Suaviáque erunt, & tuo grata animo,
Animo, & labris apta prorſus tuis.
Ut ſis fretus Deo ſempiterno,
Idcirco ego hæc tibi, tibi hodie ſic declaro.

20 Οὐκ ἄρα σοι πρόφρων ἐξαίρετα πόλλ' ἀνέγραψα
Βουλῇσιν πυκινῇσι καὶ ἰδρείῃσι νόοιο,
21 Πᾶν ἵνα σοι ἀναδείξω ἐτήτυμον, ὄφρ' εὖ εἰδῇς
Νημερτέας τε λόγους, οἵ τ' ἐμπεδόμυθοι ἔασιν,
Ὄφρα τέ σοι πέμψασιν ἀληθείην καταλέξῃς,
Πάντα μάλ' ἀτρεκέως ἀγορεύων ὡς ἐπιτέλλω;
22 Μή τι πενιχρὸν ἀφαιρεῖσθαι, ὅτι ἐστὶ πενιχρός,
Μηδέ ποθ' ὑβρισθέντα βιαζέμεν εἰνὶ πύλῃσιν·
23 Ἀθάνατος μὲν γάρ σφι συνήγορος ἐν δίκῃ ἔσται,
Καὶ συλήσαντας συλήσει, θυμὸν ἀπούρας.
24 Μήποτέ σοι ἄνδρα ζάκοτον ποιεῖσθαι ἑταῖρον,
Μήτε φίλα φρονέειν αὐτῷ, μήθ' ὅρκια τέμνειν·
Μηδέ ποτ' ὀξυχόλῳ τε καὶ ἀγρίῳ ἀνδρὶ μελεῖναι·
25 Μὴ φιλέῃς τὰ ἃ ἔργα, μάθῃς δέ οἱ ἔμμεν' ὅμοιος·
Τῷ κε τεῇ ψυχῇ ὀλοὸν βρόχον ἀμφιβάλῃσθα.
26 Μηδέ τις ἔσσο βροτῶν, οἵ θ' ὅρκια δεξιτερῇσι
Ῥεῖα τάμον, χεῖράς τ' ἔδοσαν, καὶ πιστώσαντο,
Ἔγγυοι ἔσσεσθαι χρείους ἕνεκ' ἀλλοτρίοιο.
27 Τίπτε γάρ, εἰ μὴ ἔχεις ἀποτίσαι, τίπτε δανειστὴς
Καί κέν σου ἀφέλοιτο τεὸν λέχος, ᾧ περ ἐνεύδεις;
28 Μηδέ ποτ' ἀρχαῖον μετακινεῖν οὖρον ἀρούρης,
Τὸν πατέρες στήσαντο παλαί σημήϊον εἶναι.
29 Ἦ ῥά νύ που ὀτρηρὸν ἄοκνόν τ' ἄνδρα νοήσαις
Εἰν ἔργοισιν ἑοῖσιν; ὅγε δμωὸς ἔσσετ' ἀνάκτων,
Οὔτε τῶν ἐκ δήμου, ὧν μὴ βίοτος πολὺς εἴη.

ΚΕΦ. κγ'.

1 ΕΙ σέ ποτ' ἀρχὸς ἀνὴρ καλέσῃ ἐπὶ δαῖτα θάλειαν,
Εὖ φράζευ, ἅ, τ' ὀνείαθ' ἕτοιμα παρακείμενα ἐστί.
2 Θὲς δὲ λάρυγγι μάχαιραν, ἐπεὶ ἦν γαστέρα μάργην,
Εἴ γε μολοβρός τ' ἐσσὶ, φιλεῖς δέ τε ἔδμεναι ἄδδην·
3 Ἴσχεο, μηδέ σ' ἑῶν θαλιάων ἵμερος αἱρεῖ·

An-non utique tibi libens eximia multa deſcripſi
Conſiliis prudentibus, & peritiâ mentis,
Omne ut tibi oſtendam verum, ut rectè ſcias
Veros ſermones, quique firmiter-dicti ſunt,
Ut ad te mittentibus veritatem nuncies,
Omnia valdè veraciter prædicans ut mando?
Nihil pauperi eripias, quia eſt pauper,
Nec unquam oppreſſum affligе in porta:
Immortalis enim illis advocatus erit in judicio,
Et ſpoliantes ſpoliabit, (eorum) animam auferens.
Nunquam tibi virum iracundum fac amicum,
Neque amica ſapias illi, neque fœdus ferias:
Neve unquam ad-iram-præcipiti, & feroci cum viro converſeris;
Nè (fortè) ames illius opera, & diſcas ei eſſe ſimilis;
Adeóque tuæ animæ exitialem laqueum injicias.
Neque ſis ex numero hominum qui fœdera dextris
Facilè feriunt, manúſque dant, & fidem faciunt,
Sponſores eſſe debito pro alieno.
Quare enim, ſi non habes quod reddas, quare creditor
Etiam tibi auferet vel lectum tuum, in quo dormis?
Nevè unquam antiquum dimoveas limitem agri,
Quem patres ſtatuerunt olim ſignum eſſe.
Num alicubi ſedulum impigrúmque virum animadvertiſti
In operibus ſuis? ſervus ille erit regum,
Haud cujuſquam è plebe, cui non facultates multæ ſint.

CAP. XXIII.

SI te unquam princeps vir vocaverit ad convivium floridum,
Bene conſidera, quæ fercula parata appoſita ſint.
Appone gutturi tuo cultrum, reprime autem ventrem inſanum,
Si vorax ſis, amáſque edere affatim:
Faceſſe, neque te illius deliciarum appetitus capiat:

Cibi

Εἴδατα γὰρ δολόεντα, καὶ οὐκέτι πιστὰ πέλονται.
4 Ἄνσχεο, μηδέ τι πολλὸν ἐέλδεο πλούσιος εἶναι,
Μηδ' ἄφενος ποθέων κάμνε φρένα, μηδέ τι χεῖρας·
Λῆγε δὲ κερδοσύνης τε τεῆς, πινυτῆς τ' ἀλεγεινῆς.
5 Ἦ ἐπὶ οὐκέτ' ἐόντα μετήορος, ὄμματα πήξεις;
Χρήμασι γὰρ πτερά τ' εἰσὶ, τά τ' ἀνέρας ὦκα λιπόντα
Οἴχεται, ὑψιπέτης ὡς αἰετὸς οὐρανόθι πρὸ,
Ὅς μάλα ῥίμφ' οἰωνὸς διὰ νεφέων ἐρεβεννῶν.
6 Μήτε φιλοκτεάνοιο, κάκ' ὀσσομένοιό τε φωτὸς
Ἄρτον ἔδειν, τοῦ δὲ γλυκέρ' εἴδατα μήτε μενοινᾶν·
7 Ὡς γὰρ ἐνὶ φρεσὶν ἧσιν ὀΐετο, τοῖος ἐτύχθη,
Οὐχ οἷος δοκέει· μάλα γὰρ δειδέκτ' ἐπέεσσι,
Χαῖρε, λέγων, ὦ ξεῖνε, καὶ ἔσθιε οἷα πάρεσι,
Πῖνέ τε, καὶ μέγα τέρπευ, ἐπεὶ κεχαρισμένος ἦλθες·
Ὣς φάτο μειλιχίοις, δίχα δὲ φρονέει ἐνὶ θυμῷ·
Γλῶσσα φέρει ἐπίηρα, νόος δέ οἱ οὐ μετὰ σεῖο.
8 Ψωμὸν δ' ἐξεμέσεις, ὃν λαυκανίης καθέηκας·
Οὐδέ τι μύθων ἦδος, ὄλωλε δέ σοι ὀαριστὺς
Ἡδυεπὴς, ἣ δαιτὶ συνήορός ἐστι θαλείῃ.
9 Μή τι χαλίφρονι φωτὶ πιφαύσκεο, μήτ' ἀγόρευε,
Ὅς κε λόγοις ἀθερίζοι, ὅσους πινυτῇ περ ἔειπες.
10 Οὔ ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης,
Λᾶαν μὴ κινεῖν· μήτ' ὀρφανοῦ ἀγρὸν ἐσελθεῖν.
11 Καὶ γὰρ καρτερός ἐσθ', ὅ σφεας κακοῦ ἐξαναλύσει,
Ὁ σφι συνηγορέων σέθεν ἐν δίκῃ ἀντίος εἶσιν.
12 Ἀλλ' ὑποθημοσύνῃ κραδίην καὶ θυμὸν ἔρειδε,
Οὔατα δ' ἰδρείῃσι νόου, πυκινοῖσί τε μύθοις.
13 Μή τοί τις φειδὼ τίννυσθαι παῖδα φίλον περ·
Οὐ μὲν γάρ κε θάνοι, ὅτε ῥάβδῳ μιν τετύπησθα.
14 Αὐτὸν μὲν ῥάβδῳ τύψεις, πληγῇσι δαμάζων·
Ψυχὴν δ' ἐξ ἀΐδεω ἅμα ῥύσεαι, ἠδὲ σαώσεις.
15 Ὦ τέκος, εἰ σὺ πέρι φρεσὶ πολυκαλίμῃσι κέκασσαι,

Γηθήσει

Cibi enim doloſi, & non ampliùs fidi ſunt (eæ)!
  Suſtine, neque multùm deſidera dives eſſe,
Neque opibus inhians labora animo, neque manibus:
Deſiſte autem à verſutia tuâ, ſapientiâque miſerandâ.
  Num in ea quæ non ampliùs ſunt, ſolicitus oculos figes?
Opibus enim & alæ ſunt, quæ homines citò relinquentes
Abeunt, alti-volans ſicut aquila in aere ſuprà,
Quæ valdè celeriter fertur per nubes obſcuras.
  Neque avari, & malè-intuentis viri
Panem ede, & ejus ſuaves cibos nè appetas:
  Sicut enim in mente ſuâ exiſtimat, talis eſt,
Non qualis videtur: valdè enim comiter excipit,
Salve dicens, ô hoſpes, & ede quæ adſunt,
Bibe & magnopere hilaris eſto, quandoquidem gratus adveniſti:
Sic ait blandis (ſermonibus), aliter autem ſentit in animo,
Lingua gratificatur, animus autem ejus non (eſt) tecum.
  Buccellam autem evomes, quam per guttur demiſiſti:
Neque ulla (erit) verborum utilitas, periit autem tibi confabulatio
Suaviloqua, quæ convivio comes eſt florenti.
  Nihil ſtolido viro dic, nec loquere:
Qui ſermones ſpernet, quos etiam prudenter dixeris.
  Quem viri priores poſuerunt eſſe limitem arvi,
Lapidem nè move: neque orphani agrum ingredere.
  Etenim fortis eſt, qui eos à malo liberabit,
Qui illis patrocinans contra te in judicio adverſarius ibit.
  Sed inſtructioni cor, & animum applica,
Auréſque ſcientiæ mentis, & prudentibus dictis.
  Nè parcas punire filium, charum licèt:
Non enim morietur, quando virgâ eum percuſſeris:
  Eum virgâ feries, verberibus domans:
Animam autem ab inferno ſimul liberabis, & ſervabis.
  O fili, ſi tu præ aliis mente prudenti ornatus es,

Γηθήσει μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισι,
Καὶ μάλα μοι κραδίη κεχαρήσεται εἵνεκα σεῖο·
16 Γηθοσύνῃ δέ τ' ἐμοὶ μέγα κεν κεχαροίατο νεφροὶ,
Μύθῳ ἀγαλλόμενοι, εἴ που κατὰ μοῖραν ἔειπες,
Χείλεσσι φραδέεσσιν ἐναίσιμον, ἐσθλ' ἀγορεύων.
17 Μήποτ' ἀλιτροῖσι φθονέοις ζηλήμονι θυμῷ·
Ἀλλὰ πανημέριόν σε ἔχοι φόβος Ἀθανάτοιο.
18 Ἦ μὲν γὰρ τέλος ἐστὶ, καὶ οὔ σοι μισθὸς ὀλεῖται,
Τὸν ποτιδέγμενος εἶς, ἔτι τοι καὶ ἐλπίδος αἶσα.
19 Εἰ δ' ἄγε, τέκνον ἐμὸν, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
Καὶ πεπνυμένος ἔσσο, καὶ εἰν ὁδῷ ἦτορ ἴθυνε·
20 Χάζεο, μηδέ ποτ' ἴσθι μετ' ἀνδράσιν οἰνοποτῆρσιν,
Οἷς φίλον ἔπλετο χανδὸν ἑλεῖν, μήτ' αἴσιμα πίνειν·
Αἰεὶ δ' ἐν δαίτῃσι καὶ εἰλαπίνῃσι παρόντες
Ἧατο δαινύμενοι κρέα τ' ἄσπετα, καὶ μέθυ ἡδύ.
21 Ζωροπότης γὰρ ὁμοῦ καὶ ἀδηφάγος ἔμπεσον ἄτῃ,
Ἠδὲ τάχ' ἔσσονται κεχρημένοι ἀνέρες ἄμφω·
Ὅς τε φίλυπνος ἔῃσι κακὰ χροῒ εἵματα ἕξει,
Ῥωγαλέα, ῥυπόωντα, ῥάκος τέ μιν ἀμφικαλύψει.
22 Πείθεο πατρὶ φίλῳ, τοῦ τε ξύνες ὅς σε φύτευσε·
Μηδ' ἀθέριζε τεκοῦσαν, ὅθ' ἵκετο γήραος οὐδόν.
23 Κτῆσαι ἀληθείην, δὸς δ' ὦνον, μήποτε περνὰς,
Καὶ πινυτὴν, καὶ μῆτιν, ἐχεφροσύνην θ' ἅμ' ἀδελφήν.
24 Ἀνέρος ἰθυνόοιο πατὴρ μέγα κεν κεχάροιτο,
Οἷον τέκνον ἔχει· ὅ, τ' ἐχέφρονα γείνατο παῖδα,
Γηθήσει δέ τε θυμῷ, ἀγαλλόμενος τέκεϊ ᾧ.
25 Γηθήσει μὲν σεῖο πατὴρ, καὶ πότνια μήτηρ,
Μήτηρ, ἥ περ ἔτικτε, γανύσσεται εὐφροσύνῃσι.
26 Δός μοι σὴν κραδίην, φίλε τέκνον· ἐμὰς δὲ κελεύθους
Φράζεό τ' ὀφθαλμοῖσι, καὶ ἐν φρεσὶ βάλλεο σῇσι·
27 Βόθρος γάρ τε βαθὺς μάχλος γυνὴ, ἥ τ' ἀλιτήμων,
Πόρνη τε στεινὴ κάπετος, καὶ τάφρος ὀρυκτή·
28 Ἧσται δὲ κρύβδην λοχόωσ', ἵνα ληΐδ' ἕληται,

'Ως

Gaudebit mihi animus in pectore charo,
Et valdè mihi cor lætabitur tui gratiâ:
Præ lætitia autem mihi magnopere geſtient renes,
Ob ſermonem exultantes, ſicubi rectè dixeris,
Labiis cautis probè, bona loquens.
Nè unquam peccatoribus invideas æmulo animo:
Sed per totum diem te teneat timor (Dei) Immortalis.
Certè enim finis eſt, & non tibi præmium peribit,
Quod expectas, adhuc tibi etiam ſpei portio.
Age, fili mi, tu autem attende, & me audi,
Et prudens eſto, & in via cor dirige.
Recede, nè unquam ſis cum viris vinolentis,
Quibus gratum eſt abundanter capere, nec decenter bibere:
Semper autem in epulis, & conviviis præſentes
Sedent, epulantes carnes multas, & vinum dulce.
Meribibulus enim ſimul, & guloſus incidunt in miſeriam,
Et citò erunt pauperes viri ambo:
Quique ſomno-deditus eſt, malas circa corpus veſtes habebit,
Laceras, ſordidas, panniculúſque eum involvet.
Obtempera patri charo, eíque auſculta, qui te genuit:
Neque ſperne genitricem, quando pervenit ſenectutis ad limen.
Acquire veritatem, da autem pretium, nunquam vendens,
Et prudentiam, & conſilium, & ſapientiam ſimul ſororem.
Viri juſti pater multùm gaudebit,
Quòd talem filium habeat: & qui ſapientem genuit filium,
Gaudebit in animo, exultans de prole ſua.
Lætabitur tuus pater, & reverenda mater,
Mater, quæ te peperit, exultabit lætitiâ.
Da mihi cor tuum, chare fili: meas autem vias
Obſerva oculis, & in mente perpende tua.
Fovea enim profunda (eſt) libidinoſa mulier, quæque peccatrix,
Scortúmque anguſtus puteus, & foſſa egeſta:
Sedet autem clam inſidians, ut prædam capiat

Tan-

Ὡς κλέπτης· πολλοὺς δὲ μετ' ἀνδράσι θῆκεν ἀλιτρούς.
29 Τίς δ' ἔχεν οἰμωγήν; τίς ἄχος; τίς νείκεα λυγρά;
Τίς τ' ἔπε' οὐ κατὰ κόσμον, ἀεικέλιόν τε κολῳόν;
Τίς πληγὰς νηποινί; τίς ὀφθαλμῶν μέγ' ἔρευθος;
30 Δηθὰ παρήμενοι οἴνῳ, ἐρευνῶντες μέθυ ἡδύ,
Οἷς τ' αἰεὶ φίλον ἐστὶ κεράσσαι αἴθοπα οἶνον.
31 Μὴ ἐσίδῃς οἴνοιο ἐρευθιόωσαν ὀπωπήν,
Ὄφρα τ' ἀπὸ κρητῆρος ἐπήρατον ἄνθος ἵησιν,
Ἡδύ τι μειδιόων, καὶ πινέμεν ἄνδρας ἀνώγει,
Εὖ δέ τ' ἀναθρώσκει, γάνυται δέ τε ἀγλαΐηφι.
32 Τρώει δ' αὖ μετόπισθε, καὶ ὡς ὄφις ἀνέρα δάκνει,
Ὥς τ' ἀσπὶς τύπτει, τῆς καὶ θανατηφόρος ἰός.
33 Σοί τ' ἐπεὶ οὖν οἶνος βλάψε φρένας, ὤλεσέ τ' αἰδῶ
Πᾶσαν ἀπ' ὀφθαλμῶν, ἔσσεαι τάχα παρθενοπίπης,
Εἴκων μαχλοσύνῃσιν, ὀπιπεύσεις τε γυναῖκας
Παλλακίδας· σέο δ' ἦτορ ἄκοσμά τε πολλά τ' ἐρεύξει.
34 Ἔσσεαι ὥστε μέσῃ τις κείμενος εἰνὶ θαλάσσῃ,
Ἤ τις ἐπ' ἀκροτάτῳ νηὸς καταλέγμενος ἱστῷ.
35 Τόφρ' ἐρέεις, Πλῆξάν με, καὶ οὐκ ἄχος οὐταμένῳ περ,
Οὔτέ τις ἦν ὀδύνη· τύψαν με, καὶ οὐκ ἐνόησα.
Ἀλλὰ πότ' ἐγρήσσω; οὐ μοι ἅλις ὃ πρὶν ἔχεσκον,
Ἄψ ἀπονοστήσω, ὅτι με γλυκὺς ἵμερος αἱρεῖ.

ΚΕΦ. κδ'.

1 ἈΝδράσι μὴ φθονέῃς, οἳ ἀτάσθαλα μηχανόωνται,
Μηδ' ἐθέλῃς αὐτοῖσι μετέμμεναι, οὐδὲ μιγῆναι.
2 Καὶ γὰρ λοίγια ἔργα ἐνὶ φρεσὶ μητιόωσιν·
Ὕβριν δ' ἀργαλέην γλώσσῃ προφέρουσι καὶ ἄτην.
3 Φραδμοσύνῃσι νόοιο τετυγμένον ἔπλετο δῶμα,
Καὶ δεδμημένον ἐστὶ ὁμῶς φρεσὶ πευκαλίμῃσιν.
4 Ἰδρείῃ θάλαμοι κειμήλια πολλὰ καὶ ἐσθλά,
Κτήματά θ' ἕξουσι τρίγληνά τε καὶ μορόεντα,

Στίλβον

Tanquam fur: multos autem inter homines facit peccatores.
Quis habet ejulatum? quis dolorem? quis rixas ſævas?
Quis verba non ſecundùm ordinem, indecorúmque tumultum?
Quis vulnera gratìs? quis oculorum magnum ruborem?
Diu aſſidentes vino, inquirentes merum dulce,
Quibúsque ſemper volupe eſt miſcere rubrum vinum.
Nè inſpicias vini rubentem faciem
Quando è cratere amabilem florem mittit
Suave quid ridens, & bibere homines ſuadet,
Rectéque exilit, exultátque ſplendore:
Vulnerat autem poſteà, & veluti ſerpens hominem mordet,
Et ſicut aſpis pungit, cujus eſt mortiferum virus.
Tibi igitur quando vinum læſerit animum, perdiderítq; pudorem
Omnem ab oculis, eris ſtatim virginum-inſpector,
Cedens libidini, intueberíſque mulieres
Pellices, tuum autem cor immodeſta, & multa effutiet:
Eríſque veluti medio quis jacens in mari,
Vel quis in ſumma navis recumbens malo.
Tunc dices, Percuſſerunt me,& non ægritudo(mihi) vulnerato licet,
Nec ullus erat dolor; verberarunt me & non ſenſi:
Sed ecquando evigilo? non mihi ſatìs quod priùs habui,
Iterum redibo, quoniam me dulcis cupido tenet.

CAP. XXIIII.

Hominibus nè invideas qui nefaria machinantur,
Neque cupias cum iis eſſe neque converſari.
Etenim peſtifera opera in animis meditantur:
Injuriam autem pernicioſam linguâ proferunt, & noxam.
Prudentiâ mentis condita eſt domus:
Et exſtructa ſtat animo ſolerte.
Scientiâ cubicula theſauros multos, & bonos,
Poſſeſſionéſq; habebunt ſpectabiles & elaboratas,

Σπίλβοντ' ἀγλαΐῃ καὶ ἐνιπλήσουσιν ἐάων.
5 Ἦ μάλα καρτερός ἐστιν ἀνὴρ πεπνυμένα εἰδώς·
Ὃς δέ τε κεν πολυΐδρις ἔῃ, μέγα κάρτος ὀφέλλει.
6 Χρεὼ βουλῆς πυκινῆς σε, ὅταν πόλεμον πολεμίζῃς·
Ὀππόθι γὰρ πολλοὶ βουληφόροι ἄνδρες ἔασιν,
Ἔνθα φόως πολέμοιο, καὶ ἄσπετον ἔπλετο κῦδος.
7 Νήπιος οὐ δύναται φρόνιν ἱμερόεσσαν ἱκάνειν,
Ὑψηλὴ γάρ οἱ ἐστί· τῷ ἐν πύλῃ οὐ στόμ' ἀνοίγει,
Οὔτέ ποτ' εἰν ἀγορῇ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ,
Ἀλλ' ἀκέων ἕστηκε, καὶ ἄλλων μῦθον ἀκούει.
8 Ὃς κακὰ μήδεται ἔργα, καὶ οὐκ ὄθετ' αἴσυλα ῥέζων,
Πάντες μιν καλέσουσιν ἀτασθαλίης θεράποντα.
9 Ἐστὶν ἀλιτροσύνη μελεδήματα νηπίου ἀνδρός·
Ὃς δ' ἐμπαίκτης ἦσι, σαοφροσύνην τ' ἀθερίζῃ,
Πᾶσιν ἀπεχθάνεται, τὸν τε στυγέουσι μάλιστα.
10 Εἴ τοι θάρσος ὄλωλεν ὀϊζύος ἤματι λυγρῷ,
Ἔσσ' ἀλαπαδνὸς ἀνήρ, ὀλίγη δέ τοι ἶς ἐνὶ θυμῷ.
11 Εἰ μὴ ῥύσεαι ἄνδρας ὀϊομένους θανέεσθαι,
Οἳ βίῃ οὔτι δίκῃσι κακὰς ἐπὶ κῆρας ἄγονται,
Μηδ' ὑπάγειν μέλλεις ῥυστακτύος ἐξ ἀλεγεινῆς,
Μηδ' ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι·
12 Εἰ οὔπω μὲν ἔειπες, Ἴδ' ἡμεῖς οὐ πυθόμεσθα,
Οὐκ ἄρα τοῦτ' ἐνόησεν, ὃς ἀνδρῶν θυμὸν ἐτάζει;
Οὐκ ἄρα τοῦτ' ἔγνω, ψυχὴν ὃς σεῖο φυλάσσει;
Οὐχ ὅδε μισθὸν ὀρέξει ἑκάστῳ, οἷς ἔργοις;
13 Τέκνον ἐμόν, μέλι χλωρὸν ἔδοις, ὅτι ἐσθλὸν ἐτύχθη,
Κηρία τε γλυκερά, σταγόνας δέ τε ἡδὺ ῥεούσας,
Ἔργα μελισσάων κεχαρισμένα σῇ ὑπερῴῃ.
14 Τοίη σῷ θυμῷ δῖα φρόνις, ὄφρα μιν ἔγνως·
Ὡς οὐδὲν γλύκιον πινυτῆς πέλει ἱμερόεσσης·
Ὄφρα μιν ἐξεύρες, τότε κεν τάχα μισθὸν ἄροιο·
Οὐδέ σοι ἐλπωρὴ ἀποκόψεται, οὐδέ θ' ὀλεῖται.

Fulgentes ſplendore; & implebuntur bonis.
Certè admodum fortis eſt vir prudens:
Quíque multiſcius eſt, magnum robur auget.
Opus-eſt tibi conſilio ſapienti, cùm bellum geris:
Ubi enim multi conſiliarii viri ſunt,
Ibi ſalus belli, & ingens eſt gloria-victoriæ.
Fatuus non poteſt ad ſapientiam optabilem pervenire,
Alta enim (nimis) illi eſt; quare in porta os non aperit,
Nec unquam in concione numerandus, neque in conſilio,
Sed tacitus ſtat, & aliorum ſermonem audit.
Qui mala meditatur opera, nec curat ſcelerata patrans,
Omnes illum vocabunt improbitatis famulum.
Sunt nequitia cogitationes ſtulti hominis:
Qui autem deriſor fuerit, ſapientiàmque contemnit,
Omnibus odio-eſt, illúmque abominantur maximé.
Si tibi confidentia periit calamitatis in die triſti,
Es debilis homo, parúmqne tibi robur in animo.
Niſi liberes homines expectantes mori,
Qui vi, non jure malam ad mortem ducuntur,
Neque ſubtracturus es à vexatione miſera,
Neque vis à morte lugubri ſolvere.
Si ſic dicis, Ecce nos (id) non intelleximus,
Nonnè utique hoc conſiderat, qui hominum animum ſcrutatur?
Nonnè hoc novit, qui animam tuam cuſtodit?
Nonnè hic mercedem dabit unicuique, eò-quòd-tale fecit?
Fili mi, mel recens edas, quia bonum eſt,
Favóſque dulces, & cereas-cellas ſuave ſtillantes,
Opera apum grata tuo palato.
Talis tuæ animæ divina prudentia, cùm illam noveris:
Adeò nihil dulcius ſapientiâ eſt amabili.
Quando illam inveneris, tunc ſtatim mercedem accipies:
Neque tibi ſpes excindetur, neque peribit.

15 Ἴσχεο, ἄνερ ἀλιτρ' ἰδὲ μὴ κακὰ ῥάπτε δικαίῳ·
Μηδὲ θ' ὕφαινε δόλους, λοχόων οἶκόν τε καὶ αὐτόν·
Μηδὲ διαρραίσῃς εὐνὴν, ὅθι κεῖται ἔκηλος.
16 Ὅττι δίκαιος ἀνὴρ πέσεν ἑπτάκις, αὖτε δ' ἀνέστη·
Δυσσεβέες δὲ κακῇ αἴσῃ καὶ πήματι κύρσαν.
17 Μηδέ ποτ' ἐν θυμῷ χαίρῃς ἐχθροῖο πεσόντος,
Μηδέ τοι εὐφρανθῇ κῆρ αὐτοῦ σφαλλομένοιο·
18 Μὴ Θεῷ εἰσορόωντι ἀφανδάνοι ὅττ' ἔρεξας,
Μῆνιθμὸν δέ τ' ἀπορρίψας οἱ ἵλαος εἴη.
19 Μὴ νεμέσα κακοεργοῖσιν, μήτ' αἰνὰ χολωθεὶς
Σὴν ἔδεο κραδίην, μήτε ζήλωσον ἀλείτας.
20 Οὔτε γὰρ ἀνδρὶ κακῷ ἐσθλὸν τέλος, οὔτέ τι μισθός·
Δυσσεβέες δ' ἀπολεῦνται ἐνὶ ζόφῳ ἠερόεντι,
Οὐδέ τι πάγχυ φόως λύχνου σφι σβεννυμένοιο.
21 Εἰ δ' ἄγε, τέκνον ἐμὸν, Θεὸν ἅζεο, καὶ βασιλῆα·
Μηδέ ποτ' ἀνθρώποισιν ὁμίλει ἀλλοπροσάλλοις,
Οἷς αἰεί τε νεοχμὰ μετὰ φρεσὶν ἔργα μέμηλε.
22 Τοῖς γὰρ ἄφαρ κακὸς οἶτος ὀρώρεται ἀπροτίοπτος,
Ἐξαπίνης δ' ὀλέκοντο· τίς οἶδεν ἀεικέα πότμον
Ἀμφοῖν, ὅς τε Θεοῖο, καὶ ὃς βασιλῆος ἀπέστη;
23 Ταῦτα καὶ ἐν θυμῷ πεπνυμένοι ἄνδρες ἔχουσιν·
Οὐ χρὴ, οὐδὲ ἔοικε χαρίζεσθ' ἀνθρώποισιν,
Οὐδ' ἐπίηρα φέρειν, ὅτε τις κρίνῃσι θέμιστας.
24 Ὅσπερ ἀμαρτινόῳ εἴπῃ, Σὺ μὲν ἐσσὶ δίκαιος,
Τῷ δὲ καταρῶνται λαοὶ πόλλ' ἄλγε' ὀπίσσω
Ἔχθεος ἐξ ὀλοοῦ, στυγέει δέ ἑ φῦλ' ἀνθρώπων.
25 Οἳ δὲ κατ' αἶσαν ἀλιτρὸν ἐνείκεσαν, ὅττ' ἔοργε,
Τοὺς τέρψις καὶ χάρμα καὶ ἄσπετος ἵξεται ὄλβος
Εὐλογίῃσι Θεοῖο, καὶ εὐνομίης ἕνεκα σφῆς.
26 Ὅσπερ ἀμειβόμενος μῦθον κατὰ μοῖραν ἔειπε,
Χείλεά μιν κύσσουσι φιλοφροσύνῃσιν ἕκαστος.
27 Εὖ μὲν ἐπισταμένως τε τὰ σαυτοῦ ἔργα κόμιζε

Ἐκτὸς

Deſiſte, vir improbe, & nè mala ſtruas juſto:
Neque texe dolos, inſidians domui ejus, & ipſi,
Neque perdas cubile ubi jacet quietus.

Quia juſtus vir cadit ſepties, rurſus autem reſurgit:
Impii verò in malum fatum & damnum incidunt.

Haud unquam in animo læteris cùm inimicus ceciderit,
Neque tibi exhilaretur cor ipſo titubante:

Nè Deo intuenti diſpliceat eò quòd ſic feceris,
Irámque deponens, illi propitius ſit.

Nè invideas malè agentibus, neque graviter ſuccenſens
Tuum macera cor, neque æmulare improbis.

Neque enim homini malo bonus finis, neque merces:
Impii autem peribunt in caligine obſcura,
Neque omnino lux (erit) lucernâ iis extinctâ.

Eia, agè, mi fili, Deum verere, & regem:
Nec unquam cum hominibus converſare mutationi deditis.
Quibus ſemper nova in animo opera curæ-ſunt.

Illis enim ſtatim mala calamitas oritur improviſa,
Subitò autem pereunt; quis novit malum interitum
Amborum, quíque à Deo, & qui à rege deſciſcit?

Hæc etiam in animo ſapientes viri habent:
Non oportet, neque par eſt gratificari hominibus,
Neque favorem indulgere, cùm quis judicat cauſas.

Quicunque peccatori dixerit, Tu quidem es juſtus,
Illi imprecantur populi multos dolores poſteà
Odio præ diro, deteſtantur autem illum nationes hominum.

Qui autem improbum meritò objurgant, quòd tale fecerit,
Ad illos delectatio, & gaudium & immenſa perveniet felicitas
Benedictione Dei, & juſtitiam ob ſuam.

Qui reſpondens verbum rectè dixerit,
Labia illi oſculabuntur præ-amore unuſquiſque.

Bene & ſcienter tuiipſius opera cura

Ἐκτὸς ἐν ἀγροῖσιν, πελέτω δέ τοι ἄρμενα πάντα,
Εἶτα καὶ ἵδρυε δῶμα, τεὴν τ' ἔντυνε καλιήν.
28 Μὴ ὕβρει εἴκων ἄλλου κάτα μάρτυρος ἔσω·
Μήτε μιν ἐξαπάφισκε δόλῳ, χείλεσσί τε λυγροῖς.
29 Μὴ εἴπῃς, Τὸν ἐγὼ κακὰ ῥέξω, ὅσσα μ' ἔοργεν,
Ἀνέρι δ' ὧν ἔργων δώσω ἐπιεικέ' ἀμοιβήν·
Αἴκε πάθῃ τά τ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο.
30 Εἶδόν που παριὼν ὀκνηροῦ ἀνδρὸς ἄρουραν,
Τοῦ δὲ τ' ἀλωήν, ὅς τε νοήματος ἤμβροτεν ἐσθλοῦ·
31 Ὡς δ' ἴδον, ὡς ἐνόησα μέγα βρίθουσαν ἀκάνθης,
Ἐν δέ τ' ἔσαν ῥάμνοι τε καὶ ἀσπάλαθοι κομόωντες,
Ἐξ ἀκομιστίης, βρύε δὲ κνίδῃσιν ἅπασα,
Αἱ δέ θ' ἅλις πεφύασιν, ὅλην τε μιν ἀμφεκάλυψαν,
Ὤλετο δὲ θριγκὸς, λύτο δ' ἑρκίον ὃ πρὶν ἔχεσκε,
Καὶ λίθοι ἐσκίδναντο, καὶ οὐκέτι εἶλαρ ἔτ' ὄρχῳ,
Πάντα δὲ λυγρὰ γένοντο μεθημοσύνῃσιν ἄνακτος.
32 Ταῦτ' οὖν αὐτὸς ὄπωπα, καὶ ἐν φρεσὶν εὖ ἐνόησα,
Ὡς δ' ἴδον ὡς ἐδάην, μᾶλλον δέ τε μῆτιν ἐδέγμην.
33 Ἀλλ' ἔτι στὴς εὕδειν, ἔτι δὲ βραχὺ ὕπνον ἰαύειν,
Ἀλλ' ἔτι νυστάζειν, ὕπνος δ' ὀλίγος τε, φίλος τε·
Κείσεσθαι εἰν εὐνῆφι μίνυνθά περ, οὔτι μάλα δὴν,
Χεῖρας σύν τε πλέκων ἐνὶ κόλπῳ ὅσσα καθεύδων.
34 Οὕτω κεν πενίη σοι ὁδοιπόρος ὥς τις ἐπέλθοι,
Χρειώ θ' ὡς ἀνὴρ κεκορυθμένος αἴθοπι χαλκῷ.

ΚΕΦ κε'.

1 Αἶνοι καὶ τοίδ' εἰσὶν ἀγακλειτοῦ Σολομῶντος
Ἱροὶ οὓς θεράποντες ἀμύμονος Ἐζεκίαο
Ἀρχοῦ Ἰουδαίης ἐχάραξαν θέσπιδι βίβλῳ.
2 Ἔργον ἀποκρύπτειν τε Θεῷ, βασιλεῦσί τ' ἐρευνᾶν,
Ἀμφοῖν καλόν τ' ἐστὶ, καὶ εὐκλεὲς ἐστὶ μάλ' ἀμφοῖν.
3 Οὐρανὸς εὐρὺς ὕπερθεν, ἔνερθε δὲ γαῖα βαθεῖα·

Οὔτι

Extrà in agris, ſint autem tibi parata omnia,
Deinde conſtrue domum, tuúmque appara nidum.
Nè injuriæ cedens contra alium teſtis ſis.
Neque illum decipe dolo, labiíſque pernicioſis.
Nè dicas, Hunc ego malè tractabo, prout me tractavit,
Viro autem ſuorum operum retribuam juſtam mercedem:
Si patiatur quæ fecerit, jus æquum fuerit.
Vidi alicubi præteriens ignavi hominis agrum,
Ejúſque vineam, qui mente aberravit ſanâ:
Ut autem vidi, animadverti multùm oppletam ſpinis,
In ea autem erant rhamni & ſentes luxuriantes,
Ob defectum-curationis, ſcatebat autem urticis tota,
Quæ ubertim ſaccreverant, totámque illam obtexerant,
Perierat a. ſeptum, diſſolutus a. erat murus qui priùs eam continuerat,
Et lapides diſperſi,&non ampliùs munimentum ſupererat viridario,
Omnia autem peſſum ibant ex negligentia domini.
Hæc igitur ipſe aſpexi, & in animo bene perpendi,
Ut autem vidi, ut didici, magíſque ſapientiam amplexus ſum.
Verùm adhuc dicis te dormiturum, adhuc brevem ſomnum capturum,
Et adhuc dormitaturum,ſomnus exiguus,& ſuavis;
Jacebis in lecto pauliſper tantùm, neque valdè diu,
Manus complicans in ſinu quaſi dormiens.
Sic paupertas tibi viator ceu quis ſuperveniet,
Indigentiáque ſicut vir armatus fulgido ære.

CAP. XXV.

PRoverbia etiam hæc ſunt inclyti Solomonis
Sacra, quæ famuli inſignis Ezekiæ
Principis Judææ deſcripſerunt divino libro.
Rem abſcondere Deo, regibúſque explorare,
Utriſque pulchrum eſt, & glorioſum valdè utriſque.
Cœlum latum ſuprà, ſubtùs autem terra profunda:

Οὕτω καὶ βασιλεῦσιν ἀμέτρητος νόος ἐστί,
Καὶ ἀνεξερεύνητος κραδίη· χαλεπὸν δὲ γινώσκειν
Ἀνδράσι γε θνητοῖσι, Θεὸς δέ τε πάντα ἴσησι.
4 Πρῶτον ἀκίβδηλον θέμεν ἄργυρον, εὖ τε καθῆραι·
Καὶ τότε κεν τέκτων ἄγγος κάμοι ἰδμοσύνησι.
5 Νόσφιν ἀπ' ὀφθαλμῶν βασιλῆος χοίατ' ἀλιτροί,
Καί νύ κεν ἱδρυνθείη ἑδὸς θρόνος ἐυδικίῃσι.
6 Μήποτε τοῦ βασιλῆος ἐναντίον ἐυχετάασθαι,
Μηδέ ποθ' ἡρώεσσιν ὁμοιωθήμεναι ἄντην,
Μήτε μέγα φρονέειν, μήθ' ἵζειν τῶνδ' ἐν ἕδεσσιν·
7 Ὄφρα κέ σοι εἴπῃσι βροτῶν τότε τις παρεόντων,
Ὦ φίλε, δεῦρ' ἄγ' ἰών, ἀναβὰς δέ τε ὧδε κάθιζε·
Οὕτω γάρ κεν ἄμεινον, ἢ ὑψόθεν ἐστυφελῖχθαι,
Καὶ βασιλῆος ἔναντι, τὸν ὀφθαλμοῖσιν ὄπωπας.
8 Μὴ σπεύδειν ἀγορήνδε, δίκης ἕνεκα προφέρεσθαι,
Μὴ εἴπῃς, ὅτε σοι ἕταρος κακὸν αἶσχος ἔθηκεν,
Ὤ μοι ἐγὼ τί πάθω; τί νύ μοι μήκιστα γένηται;
9 Μούνῳ ἐριδμαίνειν ἑτάρῳ, ὅτε νεῖκος ἐν ὔμμιν
Ὤρετο, μήτε τεοῦ κεκρυμμένα μήδεα θυμοῦ
Ἄλλῳ ἀπαγγέλλειν, μήτ' ἀμφαδὰ ἔργα γένοιτο·
10 Μή τοι ἐλεγχείην καταχεύῃ, ὅς κεν ἀκούσῃ,
Ἀντία λωβεύων, αἶσχος δὲ σὸν οὔποτ' ὄληται.
11 Οἷα χρύσεα μῆλα ἐν ἀργυρέοις πινάκεσσι,
Τοῖον καὶ ἔπος ἐστίν, ὅ τις κατὰ μοῖραν ἔειπεν.
12 Ὥς τε χρύσειος ὅρμος, ἄγαλμά τε καλὸν ἰδέσθαι,
Παμφαῖνον, χρυσοῖο τετυγμένον ἐκ καθαροῖο·
Ὣς ἐπιτιμητὴς ἀειήκοον οὖας ἔχοντι
Κεδνός, ἐπεὶ ἑ κατ' αἶσαν ἐνείκεσεν, οὐδ' ὑπὲρ αἶσαν.
13 Ὥστε χιὼν θέρεος ποτῷ ἐν κρητῆρι μιγεῖσα
Θυμὸν ἀναψύχει, ὅτε γούνατα σείριος ἄζει·
Τοῖός μιν πέμψαντι καὶ ἄγγελος αἴσιμα εἰδώς,
Πιστός, ἀναψύχων κραδίην καὶ θυμὸν ἀνάκτων.

Ὃς

Sic etiam regibus immenſurabilis mens eſt,
Et inſcrutabile cor, difficile autem (eſt id) cognoſcere
Hominibus mortalibus, Deus autem omnia novit.
Primò ſincerum fac argentum, benéque purga:
Et tunc faber vas elaboret perité.
Longè ab oculis regis inhibeantur improbi,
Et ſtabilietur ejus thronus juſtitiâ.
Nunquam coram rege gloriare,
Nec unquam heroibus compares te coràm,
Neque te jactes, neque ſedeas illorum in ſedilibus:
Ut tibi dicat hominum tunc aliquis præſentium
O amice, huc ades, aſcende autem & hic ſede:
Sic enim melius, quàm ab alto deturbari
Etiam coram rege, quem oculis vidiſti.
Nè feſtina ad forum, juris litem intentare.
Nè (forte) dicas, quando tibi ſocius malum probrum dedit,
Hei mihi! quid mihi accidit? quid me tandem fiet?
Cum ſolo contende ſocio, quando controverſia inter vos
Oritur, neque tui occulta conſilia animi
Alii declara, neque palam opera fiant.
Ne te pudore ſuffundat, qui audiverit,
Coràm exprobrans, dedecus autem tuum nunquam pereat.
Qualia aurea mala in argenteis picturis,
Tale & verbum eſt quod quis commodè & opportunè dixerit.
Sicut aureum monile, ornamentúmque pulchrum viſu,
Splendens, auro fabricatum ex puro:
Sic reprehenſor attentam aurem habenti
Prudens, quandoquidem illum jure increpat, non injuriâ.
Sicut nix æſtate cum potu in poculo mixta
Animum refocillat, cùm genua ſirius exiccat:
Talis illum mittentibus nuncius honeſta ſciens,
Fidelis, refocillans cor & animum dominorum (ſuorum.)

Qui

14 Ὅς κε μέγ' ἐυχετόῳτο διδοὺς ποτε δῶρον ἄδωρον,
Ἢ μὴ ὑποσχεσίην τελέσας, νεφέλῃσιν ἔοικε,
Κεινῇσιν νεφέλῃσιν, ἀνύδροισίν τ' ἀνέμοισι.
15 Δηρὸν ἀνασχόμενος πείθει φρένα ποιμένι λαῶν·
Γλῶσσά τε μειλιχίη κρατερὴ ὀστέα τ' ἔνδον ἀράσσει
Θέλγουσα, στερεόν τε νόον μαλακοῖσι λόγοισιν.
16 Εὗρες που μέλι χλωρόν; ἔδοις ὅ, τι σοι ἅλις εἴη·
Ὄφρα μὴ ἐξεμέσῃς αὖθις κεκορημένος ἄδδην.
17 Μή τι θαμιζέμεναι λίην εἰς οἶκον ἑταίρου·
Μήποτε σεῖο κόρος μιν ἕλοι ἀδινὸν παρεόντος,
Τῷ καί οἱ ἐν θυμοῖο πέσοις, ἐχθρός τε γένοιο.
18 Ὅς δέ κε μαρτυρίῃσι κατ' ἄλλου ψεύδεα βάζῃ,
Ῥαιστὴρ, καὶ ξίφος ὀξὺ πέλει, καὶ πικρὸς ὀϊστός.
19 Ὅς δέ τε ἀνδρὶ πέποιθεν ὑπερφιάλῳ καὶ ἀπίστῳ,
Ἤματι τῷ, χαλεπὴ ὅτ' ὀϊζὺς ἦλθεν, ὀδόντι
Νήπιος ἀγνυμένῳ, ποδὶ λυομένῳ τε πέποιθεν.
20 Ὡς ὅτε τις τε χιτῶν' ἀφέληται χείματος ὥρῃ,
Ἢ ὄξος νίτρῳ ἐπιχεύῃ, ἠδὲ κεράσσῃ·
Τοῖος ἀοιδάων λιγυρὸν μέλος ἀγνυμένῳ κῆρ·
Μάψ· ὁ μὲν αἴσιμ' ἀείδει, ὁ δ' οὐ φρένα τέρπετ' ἀκούων,
Οὐδέ τι κηλεῖται, κρατερὸν γάρ ἑ πένθος ἀμύσσει.
21 Ἐχθρῷ πεινάοντι δὸς ἄρτον, οἱ ἔμμεν' ἐδωδήν·
Πίνειν δ' ἱεμένῳ δὸς ὕδωρ, δίψης ἀλεωρήν·
22 Ὡς οἱ ὑπὲρ κεφαλῆς πυρὸς ἄνθρακας αἰθομένοιο
Νηήσεις· μισθὸς δέ σοι ἐκ Θεοῦ ἄρκιος ἔσται.
23 Ὑετὸν ὡς ῥιπὴ αἰθρηγενέος βορέαο,
Κέρτομον ὡς γλῶσσαν δεινὴ ἀπέλασσεν ὀπωπή.
24 Βέλτερόν ἐστι μυχὸν ναίειν τεγέου θαλάμοιο,
Ἢ δόμον εὐρύχορον, γυνὴ ἣν φιλόνεικος ἔχῃσιν.
25 Ὡς τε ψυχρὸν ὕδωρ, ὅτε δίψῃ γυῖα λέλυνται·
Ὡς εὐαγγέλιον γαίης ἀπὸ τηλόθ' ἐούσης.
26 Καδδὲ πεσὼν ἀνὴρ ἀγαθὸς προπάροιθεν ἀλειτέων

Qui multùm gloriatur dans quandóque donum non-donum,
Vel non promiſſionem præſtans, nubibus ſimilis eſt,
Vacuis nubibus, & ſine pluvia ventis.

Qui diu ſuſtinet perſuadet animum paſtori populorum:
Linguáque blanda valida oſſa intùs refringit
Mulcens, durúmque animum mollibus verbis.

Inveniſti alicubi mel dulce? edas quod tibi ſatis ſit:
Nè evomas iterum ſaturatus abundè.

Nè frequentes nimium domum ſocii:
Nè quando tui ſatietas eum capiat crebrò præſentis,
Adeóque illi ex animo decidas, inimicúſque fias.

Qui in teſtimoniis contra alium mendacia loquitur,
Malleus, & gladius acutus eſt, & acerba ſagitta.

Qui homini confidit ſuperbo & infido,
De illo, gravis cùm calamitas venerit, denti
Stultus fracto, pedíque luxato confidit.

Veluti cùm quis tunicam aufert hyberno tempore,
Vel acetum nitro ſuperfundit, & permiſcet:
Talis (eſt) cantans ſuavem cantilenam mœrenti in corde:
Fruſtrà; hic quidem belle cantat, ille autem non in animo delectatur audiens,
Neque mulcetur, validus enim eum dolor pungit.

Inimico eſurienti da panem, ut ſit ei victus:
Bibere autem cupienti, da aquam ad ſitem propulſandam:
Sic ei ſuper caput ignis prunas ardentis
Cumulabis: præmium autem tibi ex Deo ſufficiens erit.

Pluviam ſicut impetus ſudum inducentis boreæ,
Convitiatricem ſic linguam tetricus abigit vultus.

Satius eſt in angulo habitare excelſi cubiculi,
Quàm domum amplam, mulier quam contentioſa tenet.

Sicut frigida aqua, quando ſiti membra ſolvuntur:
Sic bonum nuncium à terra longinqua.

Decidens vir bonus coràm peccatoribus

Ὡς πηγὴ θολερή τε πέλει, κρουνός τε σεσηπώς.
27 Οὐκ ἀγαθὸν μέλι πολλὸν ἔδειν· οὐδ᾽ ἄνδρασι καλὸν,
Οὐδὲ ἔοικ᾽ αὐτοὺς σφέτερον κλέος ἐξερεείνειν.
28 Ὃς ῥ᾽ ἔθεν οὐ κρατέει, οὐδ᾽ ὃν μῦθος ἐντὸς ἐέργει,
Οὐδέ τι πείθεται οἱ κραδίη ϗ θυμὸς ἀγήνωρ,
Περθομένῃ ὅδ᾽ ἔοικεν, ἀτειχίστῳ τε πόληϊ.

ΚΕΦ. κϛ'.

1 Ὡς τε χιὼν θέρεος ϗ ὑετὸς οὐ κατὰ μοῖραν
Ὥρῃ ἐν ἀμήτου· ὣς οὔτε χαλίφρονι τιμή.
2 Ὡς ὄρνις ἀλάληται, ἀποπταμένη τε χελιδὼν
Ὤχετο μαψαύρῃσι· κακὴ ὣς ᾤχετ᾽ ἐπαρὴ,
Μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐπεὶ φύγεν ἕρκος ὀδόντων,
Τὴν ἄνεμός τε φέρει, οὐδ᾽ ἄπτερος ἔπλετο μῦθος.
3 Ἵππῳ μὲν μάστιξ, ὄνῳ ἡνίον, ἄφρονι ῥάβδος,
Ῥάβδου πεπληγυῖα μετάφρενον ἠδὲ ϗ ὤμους.
4 Ἢν κατὰ νηπιέην μὴ ἀμείβεο νήπιον ἄνδρα,
Μή ποτε ϗ σύ περ αὐτὸς ὅμοιος τῷδε γένηαι.
5 Ἢν κατὰ νηπιέην ἀπαμείβεο νήπιον ἄνδρα,
Μή ποτέ οἱ αὐτῷ δοκέῃ πεπνυμένος εἶναι.
6 Ἶσον, ὃς ἀγγελίην διὰ νηπίου ἀνδρὸς ἔπεμψεν,
Ὅς τ᾽ ἀπέκοψε πόδας, ϗ ὕδωρ ὡς ὕβριν ἔπινε.
7 Χωλὸς ἄνισα βιβάς· κνῆμαι δέ οἱ οὐκ ἀραρυῖαι·
Ὡς οὐδ᾽ ἄφρονας αἶνον ἀνὰ στόμ᾽ ἔχειν ἐπέοικεν.
8 Ὡς ὅτε τις τε λίθον δήσας ἐν σφενδόνῃ ἧκε,
Τοῖος ὃς ἠλιθίῳ τιμὴν ϗ κῦδος ὄρεξεν.
9 Ὡς ὅτε τις τρηχεῖαν ἔχων ἐνὶ χερσὶν ἄκανθαν,
Ὀνοβαρὴς, οὐκ οἶδεν ὅ μιν δάκεν· οὐ δέ τ᾽ ἀμύσσει,
Ῥεῖά τε δάκτυλα πείρει, ἐπεὶ φρένας ἄασεν οἶνος·
Ὡς τε παροιμίη ἀνδρὸς ἀνὰ στόμα νηπυτίοιο.
10 Παμβασιλεὺς, ὃς πάντα σοφῇ τεχνήσατο χειρὶ,
Ἄφρονι μισθὸν ἔδωκε, ϗ ἀνδράσιν, ὅστις ἁμάρτῃ.

Sicut fons turbidus eſt, & ſcaturigo putreſcens.

Non bonum (eſt) mel multum edere: neque viris pulchrum,
Neque decet ipſos ſuam gloriam inquirere.

Qui ſibi non imperat, neque ſuam vim intùs reprimit,
Neque omninò obtemperat ei cor, & animus inſolens,
Vaſtatæ hic ſimilis eſt, & muris-carenti urbi.

CAP. XXVI.

Sicut nix æſtate, & pluvia non conveniens
Tempore in meſſis: ſic neque ſtulto honor.

Sicut avis vagatur, & avolans hirundo
Abit cum-levibus-ventis: mala ſic evaneſcit imprecatio,
Fruſtrà, & non ſecundùm ordinem, poſtquam fugit ſeptum dentium,
Eámque ventus fert, neque firmum eſt verbum.

Equo flagellum, aſino frænum, inſipienti virga,
Virga percutiens dorſum & humeros.

Suam ſecundùm ſtultitiam nè reſpondeas ſtulto homini,
Nè quando & tu ipſe ſimilis ei fias.

Suam ſecundùm ſtultitiam reſponde ſtulto homini,
Nè quando ſibi ipſi videatur ſapiens eſſe.

Perinde (facit) qui nuntium per ſtultum hominem mittit,
Ac qui abſcindit pedes, & velut aquam violentiam bibit.

Claudus inæqualiter incedit: tibiæ autem ejus non (ſunt) bene (compactæ
Sic neque ſtultos parabolam in ore habere convenit.

Veluti cùm quis lapidem ligans in fundam imponit,
Talis eſt qui fatuo honorem, & gloriam præbet.

Sicut quando aliquis acutam in manibus tenens ſpinam,
Vino-gravis non percipit, quòd eum mordet; hæc autem pungit,
Et facilè digitos penetrat, poſtquam mentem læſit vinum:
Sic proverbium viri in ore inſipientis.

Omnipotens qui omnia ſapienti fabricavit manu,
Stulto præmium dat, & hominibus, quicunque peccaverit.

11 Ὡς τε κύων ἐὸν εἰς ἔμετον νόστησεν ἀναιδής,
Οὕτως ἀφροσύνην ἐς ἑὴν νόστησε χαλίφρων.
12 Ἄνδρ' ἴδες, ὃς πέπνυσθαι ἐνὶ φρεσὶν ἧσιν ὀΐει;
Ἐλπωρὴν νύ κε μᾶλλον ἔχοις περὶ νηπυτίοιο.
13 Εἶπεν ἀεργὸς ἀνὴρ, Λῖς εἶν ὁδῷ ἐγγύθι κεῖται,
Πῶς ἂν ἴω κατὰ ἄστυ, λέων ἐπεὶ ἔστ' ἐν ἀγυιῇς;
14 Ὡς τε θύρη ἀμφιστρέφεται θαιροῖσιν ἑοῖσιν,
Ὡς ὀκνηρὸς ἀνὴρ κατακείμενος ᾧ ἐνὶ λέκτρῳ
Ἀμφιπεριστρέφεται, καὶ ἑλίσσεται ἔνθα καὶ ἔνθα.
15 Πᾶς ὑπὸ κόλπῳ χεῖρας ἔχων ἔκρυψεν ἀεργός·
Ἤχθετο δ', ὁσσάκις αὖτε ποτὶ στόμ' ἄειρεν ἀνάγκη.
16 Ἀνὴρ ὀκνηρὸς φησὶ φρονιμώτερος εἶναι
Ἠὲ γὰρ ἑπτ' ἄλλοι λόγον εἰδότες εὖ ἀποδοῦναι.
17 Ὃς παριὼν νείκεσσιν ἐν ἀλλοτρίοισιν ἐμίχθη,
Νήπιος, ὡσεὶ γὰρ κύνα κάρχαρον ἔλλαβεν ὤτων.
18 Ὡς ὅτε τις κρατερῷ λύσσης βεβολημένος οἴστρῳ
Αἰθομένας δαΐδας προΐει, θανατόν τε, καὶ ἰούς·
19 Τοῖος ἀνὴρ, ὃς ἑταῖρον ἐὸν δόλῳ ἐξαπαφίσκει,
Φησὶ δὲ παίγνιον εἶναι, ὃ οἱ κακὸν ἔργον ὑφαίνει.
20 Ἢ ξύλον οὐκ ἔστιν, πῦρ ἔφθιτο, φλόξ τ' ἐμαράνθη,
Ἢ γὰρ δ' οὐκ ἔστι ψιθυριστὴς, νείκεα παύθη.
21 Ἄνθρακες ὡς δαλοῖσι, πυρὶ ξύλα τ' αὖα πέλονται,
Τοῖος ἀνὴρ φιλόνεικος ἔριν καὶ μῶμον ἀνάψαι.
22 Ὡς ὁπότ' ἄνθρωποι βεβλήαται ὀξέϊ χαλκῷ,
Τοῖαι ἐπεσβολίαι φιλοκερτόμου ἀνδρὸς ἔασιν,
Αἳ διά τ' ἔγκατα πάντα, μέσην δέ τε γαστέρ' ἔλασσαν.
23 Γλῶσσα μὲν αἱμυλίη, κραδίη δ' ἔντοσθεν ἀλιτρή,
Σκωρίη ὡς κέραμος κεκαλυμμένος ἀργυρείοιο.
24 Ἄλλο μὲν ἐχθρὸς κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ βάζει,
Καί τ' ἔχει ἐν στήθεσσι δόλους, κακὰ βυσσοδομεύων.
25 Ὁππότε σοι ἐπέεσσι χαρίζηται μαλακοῖσι,
Μὴ πίθεο· ἑπτὰ γάρ οἱ ἀλιτήματά εἰσ' ἐνὶ θυμῷ.

Sicut canis ſuum ad vomitum redit impudens,
Sic ſtultitiam ad ſuam redit ſtultus.

Hominem vides, qui ſe ſapere in mente ſua exiſtimat?
Spem magis habere queas de ſtulto.

Dicit ignavus homo, Leo in via prope jacet,
Quomodo ire queam per civitatem, quandoquidem leo eſt in vicis?

Sicut janua circumvertitur cardinibus ſuis,
Sic piger homo jacens ſuo in lecto
Circumvertitur, & volvitur huc & illuc.

Unuſquiſque ſub ſinu manus habens occultat ignavus:
Ægrè autem fert, quoties ad os attollit præ neceſſitate.

Homo piger cenſet ſapientiorem ſe eſſe,
Quàm ſeptem alii rationem ſcientes bene reddere.

Qui tranſiens jurgiis ſe alienis immiſcet,
Inſipiens veluti canem aſperum prehendit auribus.

Quemadmodum cùm quis valido furoris percitus œſtro
Ardentes faces projicit, mortémque, & ſagittas:

Talis vir (eſt) qui ſocium ſuum dolo decipit,
Dicit autem jocum eſſe, quod ei malum opus machinatur.

Ubi lignum non eſt, ignis extinguitur, & flamma marceſcit:
Ubi autem non eſt ſuſurro, lites ceſſant.

Carbones quemadmodum torribus, & igni ligna arida ſunt,
Talis eſt vir contentioſus litem & jurgium accendere.

Sicut quando homines vulnerantur acuto ferro,
Tales contumeliæ convitiatoris viri ſunt,
Quæ inteſtina omnia, & medium ventrem penetrant.

Lingua blanda, cor autem intùs pravum,
Scoriâ ſicut teſta obtecta argenti.

Aliud inimicus occultat in mente, aliud autem loquitur,
Et habet in pectore dolos, mala profundè cogitans.

Quando tibi verbis adblanditur mollibus,
Ne credas: ſeptem enim ei tranſgreſſiones ſunt in animo.

26 Ὃς πολυκερδείῃ κλέψε φρεσὶν ἔχθεα λυγρὰ,
Τοῦ κεν ἀτασθαλίη γνωτὴ ἀναφανδὰ γένοιτο
Ἀνδρῶν τε πληθύϊ, παντός τε πάροιθεν ὁμίλου.
27 Ὃς μὲν τ' αὐτὸς ὄρυξεν, ἀνὴρ κακῷ ἔμπεσε βόθρῳ·
Τὸν δ' ἔπι, ὅς τ' ὤθεσκε, κυλίνδετο λᾶας ἀναιδής.
28 Γλῶσσ' ἀνδρὸς ψεύδεσσι κεκασμένου ἠδὲ δόλοισιν,
Ἀμφότερον, βλάψεν τε καὶ ἤχθηρεν τὸν ἔβλαψε·
Πολλοῖς δ' αἱμύλιον στόμ' ἀεικέα πότμον ἐφῆκε.

ΚΕΦ. κζ'.

1 ΜΗ' ἀμβάλλεο ἔργον ἐς αὔριον, οὐ γὰρ ἄμεινον,
Μηδέ τι θαρσήσας μάλα αὔριον εὔχεο ῥέξειν,
Νήπιος, οὐ γάρ πω σάφα οἶσθα τί τέξεται ἦμαρ·
Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.
2 Σὲ στόμ' ἐπαινείτω μὴ μὲν τεὸν, ἀλλότριον δέ·
Ἄλλος σοι γλώσσῃ μακαρίζοι, μὴ σύ περ αὐτίς.
3 Λᾶας μὲν βειθύς τ' ἐστὶ, ψάμαθός τε βαρεῖα·
Βειθοσύνῃ δ' ἄμφω νικᾷ χόλος ἀφραδέοντος.
4 Δεινὸν μένος πέλεται· χόλος ἄγριος, οἴδματι θύων·
Τίς δέ κεν ἑστάμεναι ζήλου προπάροιθε δύναιτο;
5 Ἀμφαδίη μέμψις κρυφίης φιλότητος ἀμείνων.
6 Πισταὶ μὲν πληγαὶ, φίλος ἀνὴρ ἅς κε τιθῇσιν·
Ἐχθροῦ δ' αὖ δολόεντα φιλήματα, λυγρά τ' ἔασιν.
7 Ὃς ῥ' ἤδη γλυκερῆς ἐκορέσσατο θυμὸν ἐδωδῆς,
Καὶ σχαδόνα στυγέει, καὶ κηρίον ἡδὺ μελισσέων·
Ἀνδρὶ δὲ πεινάοντι τὰ πικρ' οὐ πικρὰ πέφανται.
8 Ὡς ὄρνις ἀλάληται ἀποπλαγχθεῖσα καλιῆς,
Ὣς καὶ ἀνὴρ ἀλάληται, ἐπεὶ ἕδος ὃν κατέλειψε
Χώρου ἀποπλαγχθείς· οἶκος φίλος, οἶκος ἄριστος.
Πλαγκτοσύνης δ' οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν.
9 Εὐόδμοισι μύροις, θυέεσσί τε θυμὸς ἰάνθη·
Ὣς γλυκύθυμος ἀνὴρ φίλα τε φρεσὶ μήδεα εἰδὼς
Εὐφραίνει,

Qui præ aſtutia tegit in animo odia acerba,
Hujus nequitia nota propalàm erit
Hominum multitudini, & univerſo coram cœtu.
Qui ipſe fodit vir malam incidit in foveam:
Super illum autem qui protrudit, devolvitur lapis impudens.
Lingua viri mendaciis inſtructi, & dolis,
Utrunque, & lædit, & odit quem lædit :
Multis autem blandum os malam mortem affert.

CAP. XXVII.

Ne differ opus in craſtinum, non enim (id) melius eſt,
Neque confiſus, cras gloriare te facturum:
Stultus, neque enim certò ſcis, quid pariet dies:
Interdum noverca eſt dies, interdum mater.
Te os laudet non tuum, ſed alienum:
Alius te linguâ beatum-prædicet non verò tu ipſe.
Lapis quidem ponderoſus eſt, arenáque gravis :
Pondere autem utrumque ſuperat ira inſipientis.
Acerbus furor eſt; ira crudelis, æſtu fervens:
Quis autem ſtare coram invidiâ poteſt?
Aperta increpatio occultâ amicitiâ melior,
Fidelia ſunt vulnera, quæ amicus homo infligit:
Inimici autem doloſa oſcula, crudeliáque ſunt.
Qui jam dulci ſaturatus eſt in animo victu
Etiam favos faſtidit, & ceream cellam ſuavem apium.
Homini enim eſurienti acerba non acerba videntur.
Sicut avis vagatur, errans à nido:
Ita & homo vagatur, poſtquam ſedem ſuam deſeruit
A loco ſuo errans: domus amica, domus optima;
Vagatione autem non eſt deterius quid mortalibus.
Odoriferis unguentis ſuffimentíſque animus delectatur:
Sic dulcis-animi vir, & amica animo conſilia ſciens

Εὐφραίνει, ὅτε μῆτιν ἀπὸ κραδίης ἀγορεύῃ.
10 Μὴ κατάλειπε φίλον μήτ' ἂρ σέο, μήτέ τι πατρός·
Ἄγχιο, μηδὲ κασιγνήτου εἰς οἶκον ἴησθα
Ἤματι ὀϊζυρῷ, ὅτε τοι κακὸς οἶτος ἐπέλθῃ,
Ἄτῃ τ' ἀργαλέῃ· τηλοῦ γὰρ ἐόντος ἀδελφοῦ
Κρείσσων ἐστὶν ἑταῖρος, ὃς ἐγγύθεν οἰκία ναίει.
11 Τέκνον ἐμὸν, πέπνυσο, φίλον δέ μοι ἦτορ ἴαινε·
Ὄφρα κε λωβητῆρος ἐπεσβόλου ἀντίον εἴπω.
12 Ῥεῖα κακὸν προτιόσσετ' ἀνὴρ πεπνυμένα εἰδὼς,
Καὶ λάθεν· ἀφραδέες δὲ πρόσω κίον, οὐδ' ἐνόησαν,
Βὰν δὲ καταντικρὺ, καὶ ἀεικέα μισθὸν ἄροντο.
13 Τοῖο χιτῶνα λάβε, ξείνου ὃς ὑπέγγυος ἐστι,
Καὶ παρ' ἕο ξείνης ἐχυρὸν λάβε ἀντὶ γυναικός.
14 Ἶσον, ὃς ἀντικρὺ φίλον αἰνεῖ καὶ μακαρίζει
Φωνῇ ἀριζήλῃ, ἵνα τ' αὐτὸς ῥεῖα πύθηται,
Πρωῒ μάλ' ἐγρήσσων, μεμαὼς κεχαρισμένα βάζειν·
Ὅς τε καταρᾶται, στυγεράς τ' ἐπικέκλετ' ἐριννῦς.
15 Ὡς ὅτε ταρφειαὶ σταγόνες πίπτουσιν ἔραζε
Συνεχὲς, ἤματι τῷ, ὅτε λαβρότατον ῥέει ὕδωρ
Οὐρανόθεν, βρίθει δ' ὑπὸ λαίλαπι πᾶσα περὶ χθών·
Ὡς νεικεῦσα γυνὴ ἔριδος περὶ θυμοβόροιο
Πόλλ' ἔτεά τε καὶ οὐκὶ, χόλος δέ τε καὶ τὰ κελεύει.
16 Ὃς δέ μιν ἔχ' ἀγορέων δαμάσας, ἅμα δήσειν ἐν ἀσκῷ
Κακκρύψας λιγέων ἀνέμων λαιψηρὰ κέλευθα,
Ἢ εὐῶδες ἔλαιον, ὃ οἱ ἐνὶ δεξιτερῆφι,
Κρύψεν ἔχων, ἵνα μή τι ἀποπνεύσῃ ὀλίγον περ,
Ἀλλὰ τίδ' οὐ λάθεν ἄνδρας ἐνὶ μεγάροισιν ἐόντας,
Ῥεῖα δ' ἀρίγνωτον πέλεται, ἐκ δ' ἔσσυται ὀδμή.
17 Θήγει, ὀξύτερόν τε σίδηρος θῆκε σίδηρον,
Ἠδὲ φαιδνότερον· φίλος ὣς φίλον ὄμμασι θήγει.
18 Δένδρε' ὃς οὐκ εἴασεν ἄνευ κομιδῆς κατὰ κῆπον,
Συκῆν δ' εὖ ἐφύλαξεν, ἔδοι κεν εὔφρονα καρπόν·

Exhilarat, quando conſilium ex corde edit.
Nè relinquas amicum neque tuum, neque patris:
Suſtine, neque fratris ad domum eas
Dic calamitoſo, quando tibi mala ærumna ſupervenit,
Damnúmque grave: procul enim exiſtente fratre
Melior eſt ſocius qui propè habitat.
Fili mi, ſape, charum autem mihi cor exhilara,
Ut convitiatori maledico ex-adverſo reſpondeam.
Facilè malum prævidet vir prudens,
Et latet; ſtulti autem ultrà pergunt, neque conſiderant,
Procedunt autem obviàm, & malam mercedem referunt.
Ejus veſtimentum cape, qui pro peregrino ſponſor eſt,
Et ab eo peregrinâ pignus cape pro muliere.
Perinde (facit) qui corãm amicum laudat, & beatum prædicat
Voce altâ, ut ipſe facilè intelligat,
Diluculò valdè ſurgens, geſtiens blanda loqui;
Ac qui execratur, dirásque invocat ſurias.
Sicut quando crebræ guttæ cadunt in terram
Continuè, die illo quo largiſſima fluit aqua
De cœlo, gravatur autem ſub procella omnis circum terra:
Sic jurgia jactans mulier contentione præ acerba,
Multa vera & non, ira autem & iſta jubet.
Qui autem illam reprimit à ſermonibus, ſimul ligat in utre
Occultans ſtridulorum ventorum celeres vias,
Aut ſuaveolens unguentum, quod illi in dextera (eſt,)
Abſconditum habet, ut nequid ſpiret vel minimum,
Sed id non latet homines in ædibus exiſtentes.
Facile autem manifeſtum eſt, erumpítque odor.
Acuit, & acutius ferrum reddit ferrum.
Et ſplendidius; amicus ſic amicum oculis acuit.
Arbores qui non ſinit ſine cura in horto,
Ficum autem bene cuſtodit, edet ſuavem fructum:

Ὡς ὅ, τις εὖ κομέει ὃν ἄνακτα, τετιμημένος ἔσται.
19 Ὡς ὅτ' ὀπωπὴν ἀνδρὸς ἐν ὕδασι δεῖξεν ὀπωπὴ
Ἀντίτυπος, κραδίη ὣς ἀνέρος ἀνέρα δεῖξεν.
20 Οὔποτε πίμπλανται ἀΐδης καὶ λυγρὸς ὄλεθρος·
Ὡς βροτοῦ ὀφθαλμοὶ ἀκόρητοι πάμπαν ἔασιν.
21 Ἄργυρος ἐν χοάνοισιν ἐτάζεται, ἐν δὲ καμίνῳ
Χρυσὸς, ἀνὴρ δ' αἴνοισιν ἑοῖς, ὅτ' ἐπῄνεσεν ἄλλος.
22 Πυρῷ ὁμοῦ ὑπέρῳ εἴπερ τε χαλίφρονα κόψῃς
Ἐιν ὅλμῳ, οὐδ' ὣς μιν παύσεις ἀφροσυνάων.
23 Εὖ τοι ἔχοι μήλων κομιδὴ, οἵας τ' ἐνὶ θυμῷ
φράζεο, ὡς δασύμαλλοι, ἐϋτρεφέες τε γένωνται,
Πώεα τοι ἀγέλαι τε μετὰ φρεσὶ σῇσι μελόντων.
24 Οὐ γάρ πω μίμνουσι τὰ χρήματα νωλεμὲς αἰεί·
Οὐδὲ θ' ὑπερμενέων σκῆπτρον καὶ στέμματ' ἀνάκτων
Ἀλλήλοις γενεῇσι διαμπερὲς ἑστήκασι.
25 Χόρτος ἀνέδραμε πολλὸς, ἰδ' ἐν λειμῶνι φαάνθη,
Ἐν δ' ἀγροῖσιν ἅλις φύεται τέρεν' ἄνθεα ποίης,
Χλωρή τ' ἄγρωστις, βοτάναι τ' ἐν ὄρεσσι λέγονται.
26 Ἄρνες τοι ἀμαλαὶ μαλακὴν ἐσθῆτα φέρουσιν·
Αἶγες ὀπάζουσίν τ' ἀντάξιον ὦνον ἀρούρης.
27 Σοὶ δ' αἰγῶν ἅλις ἔσσετ' ἐπηετανὸν γάλα θῆσθαι,
Σοί τ' αὐτῷ, οἴκῳ τε, καὶ ἀμφιπόλοισι τεῇσιν
Ἀδροσύνῃ, ἵνα μὴ βιότου ἐπιδευέες ἦτε.

ΚΕΦ. κη'.

1 ΔΥσσεβέες φεύγουσιν, ὅτ' οὔτις ὄπισθε διώκει·
Ὡς δὲ λέων κρατερὸς θρασυκάρδιοί εἰσι δίκαιοι.
2 Πολλοὶ κοίρανοί εἰσι καὶ ὄρχαμοι, ἄλλος ἐπ' ἄλλῳ
Εἵνεκ' ἀτασθαλίης πολιητέων· οὔτ' ἄρα τις δὴν
Σκῆπτρον ἔχει, πάντες δὲ μινυνθάδιοι τελέθουσιν·
Ἀνδρὸς δ' αὖ βουλῇσι περίφρονος ἰδμοσύνῃ τε
Ὄλβια πάντα πόληος, ἐπὶ δηρὸν δὲ τέθηλεν

Ἐξ

Sic qui benè curat herum, honoratus erit.

Ut quando faciem hominis in aquâ oſtendit facies
Repercuſſa, cor ſic hominis hominem oſtendit.

Nunquam implentur infernum, & gravis perditio:
Sic hominis oculi inſatiabiles ſemper ſunt.

Argentum in vaſis-fuſoriis probatur, in camino autem
Aurum, vir autem laudibus ſuis, quando laudat (eum) alius.

Unà cum tritico piſtillo licet ſtultum contuderis
In mortario, neque ſic eum ceſſare-facies à ſtultitia.

Bene tibi curentur pecora, ovéſque in animo
Conſidera, ut bene-lanoſæ & pingues fiant,
Greges tibi & armenta in animo tuo curæ-ſint.

Non enim manent divitiæ perpetuò ſemper:
Nec præpotentum ſceptrum, & diademata regum
Indeſinentibus ſeculis perpetuò ſtant.

Fœnum ſuccreſcit multum, & in prato apparet,
In agris autem abundè naſcuntur tenera germina herbæ,
Viride autem gramen, & herbæ in montibus colliguntur.

Agni tibi teneri mollem veſtem ferunt:
Capræ autem præbent dignum pretium agri.

Tibi autem caprarum ſatis erit annuum lac ad mulgendum,
Tibíque ipſi, & domui, & ancillis tuis
Abundanter, nè victûs indigentes ſitis.

CAP. XXVIII.

IMpii fugiunt, quando nemo à-tergo perſequitur:
Sicut autem leo fortis audaces ſunt boni.

Multi imperatores ſunt, & principes, alius poſt alium
Propter nequitiam civium: nec quiſquam diu
Sceptrum tenet, omnes autem brevis ævi ſunt:
Viri autem è-contrà conſiliis cordati & ſcientiâ
Proſpera omnia ſunt civitatis, diu autem (illa) floret

Ἐξ εὐηγεσίης, ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
3 Ὡς ὅτ' ἀθέσφατος ὄμβρος ἀπ' οὐρανόθεν παταγήσῃ
Λάβρος ἐπαιγίζων, μινύθει δέ τε ἔργ' ἀνθρώπων,
Οὐδ' ἔτι που σῖτος· τοῖος κεχρημένος ἀνήρ,
Ὅς θ' ὕβρει εἴκων ἄλλους κάκ' ἔοργε πενιχρούς.
4 Οἱ θεσμὸν μεθιεῖσι Θεοῦ, αἰνεῦσιν ἀλείτας·
Οἱ δὲ φυλάσσουσιν, τοῖσίν τ' ἔριδα προφέρονται.
5 Οὔ τι δίκην ἐνόησαν ἐνὶ φρεσὶν ἄνδρες ἀλιτροί·
Οἱ δὲ Θεὸν ζητεῦσι, δαήμονές εἰσιν ἁπάντων.
6 Κρείσσων ἐστὶ πενιχρὸς ἀνήρ, ὅς τ' αἴσιμα ᾔδῃ,
Ἢ σκολιῇσιν ὁδοῖσι κιών, κἂν πλούσιος εἴη.
7 Θεσμὸν ὃς εὖ ἐφύλαξεν, ὁ μὲν πεπνυμένος υἱός·
Ὃς δέ τε ὀψοφάγοισι καὶ οἰνοποτῆρσιν ἐμίχθη,
Ὃν γένος ᾔσχυνεν, καὶ ὀνείδεα θῆκε τοκεῦσιν.
8 Ὃς τόκῳ οὐλομένῳ ὕβρει θ' ἑὸν οἶκον ὀφέλλει,
Τρώκτης, οὐχ ὁ μὲν αὐτὸς ὀνήσεται, αἰέει δ' ἄλλῳ
Χρήματα νηήσει, ὅ κεν οἰκτείρῃσι πένητα.
9 Ὅσπερ ἀπέτραπεν οὖας, ὅπως μὴ θεσμὸν ἀκούσῃ,
Τοῖο καὶ εὐχωλή, ἄγος ὥς, στυγερωτάτη ἔσται.
10 Ὃς κακῇ εἰνὶ κελεύθῳ ἄλην ἀγαθοῖσιν ἔθηκεν
Ἀνδράσιν, ἐν βόθρῳ, ὅν τ' αὐτὸς ὄρυξε, πεσεῖται·
Κτήματα δ' ἰθυνόοισιν ἔσονται πολλὰ καὶ ἐσθλά.
11 Πλούσιός οἱ αὐτῷ δοκέει πεπνυμένος εἶναι·
Πτωχὸς δ', ᾧ νόος ἐστὶν ἐνὶ φρεσίν, αὐτὸν ἐρευνᾷ.
12 Εὐσεβέων μὲν ἀγαλλομένων μέγα χάρμα καὶ εὖχος
Ἀνδράσιν· οἱ δ' ἔκρυφθεν, ἀτάσθαλοι ὁππότ' ἀνέσταν.
13 Ὃς μὲν ἑὰ κρύπτει ἀλιτήματα, πήματι κύρσει·
Ὃς δὲ λέγει, λείπει τε, Θεὸς μάλα τίνδ' ἐλεήσει.
14 Ὄλβιος ὃς δείδοικε μετὰ φρεσὶ νωλεμὲς αἰεὶ
Μή τι κακὸν ῥέξῃ· ὃς δ' ἐν στήθεσσιν ἑοῖσι
Κῆρ ἀτέραμνον ἔθηκεν, ὅ δ' ἐν κακότητι πεσεῖται·
15 Ὥστε λέων ὠρυόμενος, καὶ ἄρκτος ἀναιδὴς

Πλαζόμενος

Ex recta-rerum-adminiſtratione, feliciter autē vivit populus ſub ipſo

Sicut quando ingens imber è cœlo cum-crepitu-deſcendit
Largus ingruens, minuuntur autem opera hominum,
Neque amplius cibus eſt: talis eſt homo egenus,
Qui injuriæ ſe-dedens, aliis malefacit pauperibus.

Qui legem deſerunt Dei, laudant improbos:
Qui autem eam cuſtodiunt, iis litem intentant.

Non judicium intelligunt in mente peccatores:
Qui autem Deum quærunt, gnari ſunt omnium.

Melior eſt vir pauper, qui recta novit,
Quàm obliquis viis incedens, licèt dives ſit:

Legem qui benè cuſtodit, ille ſapiens (eſt) filius;
Qui autem cum helluonibus, & vini-potoribus verſatur,
Suum genus dedecorat, & probro afficit parentes.

Qui fœnore pernicioſo, injuriâque ſuam ſubſtantiam auget,
Lucrio, non quidem ipſe (ex eo) fructum capiet, viro autem alii
Divitias congeret, qui miſerebitur pauperis.

Qui avertit aurem, ut ne legem audiat,
Hujus oratio, ceu piaculare-crimen, odioſiſſima erit.

Qui mala in via bonos errare facit
Viros, in foveam, quam ipſe fodit, incidet:
Poſſeſſiones autem juſtis erunt multæ, & bonæ.

Dives ſibi ipſi videtur ſapiens eſſe:
Pauper autem, cui intelligentia eſt in mente, eum perſcrutatur.

Piis exultantibus magnum gaudium, & gloria eſt
Hominibus: illi autem occultantur, improbi quando ſurgunt.

Qui ſua abſcondit peccata, in malum incidet:
Qui autem ea enarrat, & linquit, Deus valdè ejus miſerebitur.

Felix qui timet in animo perpetuò ſemper
Nequid malum perpetret: qui autem in pectore ſuo
Cor durum habet, hic in infortunium incidet.

Sicut leo rugiens, & urſus impudens

Πλαζόμενος λιμῷ, μέγα τε σθένεϊ βλεμεαίνων·
Τοῖος ἀλιτρὸς ἀνὴρ κρατέων λαοῖο πενιχροῦ,
Δημοβόρος βασιλεὺς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσει.
16 Τρύχει ἀνέρας ἀρχὸς, ὃς οὐ φρεσὶν ἄρτια ᾔδη,
Τοῦ δ' ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει·
Ὃς δὲ φιλαργυρίην στυγέει, καὶ κέρδεα λυγρὰ,
Ἄσπετός οἱ αἰὼν, δηνὸν δὲ ζωοῖσι μετέσται.
17 Ὅς κε μιαιφόνος ἦσι, χέῃ δέ τε αἷμα βίηφι,
Φεύξεται ἐς βόθρον (μή τις σχέθοι) ἔς τε βέρεθρον.
18 Ἰθυπόρος μὲν ἀνὴρ σόος ἔσται· πᾶς δὲ πεσεῖται,
Ὃ σκολιόν τ' οἶμον καὶ σχέτλια ἔργα φίλησεν.
19 Ὧ ἀροτός κε μεμήλῃ, ἅλις τέ οἱ ἔσσεται ἄρτος·
Ὃς κενεοῖσί τε μίσγεθ', ἅλις τέ οἱ ἔσσετ' ἀνάγκη.
20 Ὅς κεν πιστὸς ἔῃ, τῷδ' ἄσπετος ὄλβος ὀπηδεῖ·
Ὃς δὲ μάλ' εἰς ἄφενος σπεύδει, οὐκ ἔσσετ' ἀθῷος.
21 Οὐχ ὁσίη ὀπίπερα φέρειν τινὶ εἰνὶ δίκῃσι·
Κεῖνος γάρ κεν ἀνὴρ πύρνου ἕνεχ' ὡς ἀλίτηται.
22 Ὃς πλουτεῖν μεμαὼς φιλοκερδείῃσι νόοιο
Εἰς ἄφενος σπεύδει, κακόν οἱ καὶ βάσκανον ὄμμα,
Νήπιος, οὐδ' ἐνόησεν ὅτι χρειώ μιν ἱκάνει.
23 Ἀνέρα νεικείων χαριέστερος ἔσσετ' ὄπισθεν,
Ἢ θέλγων μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισιν.
24 Ὅσπερ πατρὸς ἑοῦ, ἢ μητρὸς κτήματ' ἀπούρας
Οὐκ ἀλιτέσθαι φησὶν, ἑταῖρος ὅδ' ἔστ' ὀλετῆρι.
25 Ὃς νόον εἶχ' ὑπέροπλον, ἔριν στονόεσσαν ἐγείρει·
Ὃς δὲ Θεῷ κε πεποίθῃ, ὅδ' ἔσται τοῖο ἕκητι
Ὄλβιος, ἀφνειός τε, καί οἱ μάλα πᾶρ ὑπ' οὖδας.
26 Ἄφρων, ὅσπερ ἑῇ κραδίῃ θυμῷ τε πέποιθεν·
Ἀλλὰ σαώσετ' ἀνὴρ, φρεσὶν ὃς κέχρητ' ἀγαθῇσι.
27 Πτωχῷ ὅς γε διδοῖ, οὔτι χρεὼ ἵξεται αὐτόν·
Ὃς δ' ἔλεόν τ' ἀπόλεσσεν, ξενίην τ' ἀπέτρεψεν ὀπωπὴν,
Τῷδε καταρῶνται πολλοὶ, καὶ ἐφεψιόωνται.

Κρύφθεν

Diſcurſans præ fame, & multùm robore fretus:
Talis eſt peccator imperans populo egeno,
Populi-vorator rex, quoniam nullius-pretii viris dominatur.
Affligit homines princeps, qui non in animo recta novit,
Hujus autem injuria, & vis ad ſolidum cœlum pervenit:
Qui autem avaritiam odit, & lucra fraudulenta,
Ingens ei ævum, diu autem vivis intererit.
Qui homicida eſt, & fundit cujuſpiam ſanguinem vi,
Fugiet ad foveam (nequis eum detineat) & in barathrum.
Rectè-incedens vir ſalvus erit: totus autem cadet,
Qui pravam viam, & mala opera amat.
Cui aratio curæ-eſt, ſatìs ei erit panis:
Quíque cum vanis hominibus converſatur, ſatìs ei erit neceſſitatis.
Qui fidelis eſt, eum magna felicitas comitatur:
Qui autem valdè ad divitias feſtinat, non erit innocens.
Non fas eſt gratificari alicui in judicio:
Ille enim homo propter fruſtum panis ſic peccaverit.
Qui diteſcere cupiens avaritiâ mentis
Ad divitias feſtinat, malus ei, & invidus oculus;
Stultus, neque conſiderat, quòd paupertas eum invadit.
Virum increpans magìs gratioſus erit poſteà,
Quàm demulcens mollibus & blandis ſermonibus.
Qui, poſtquam patris ſui, aut matris poſſeſſiones ſurripuit,
Negat ſe peccaſſe, ſocius hic eſt deſtructori.
Qui mentem habet ſuperbam, contentionem funeſtam excitat:
Qui autem Deo confidit, ille erit ejus voluntate
Felix, divéſque, & ei valdè pingue (erit) ſolum.
Stultus (eſt,) qui ſuo cordi animóque confidit:
Sed ſervabitur homo mente qui utitur bonâ.
Pauperi qui dat, haudquaquam paupertas occupabit eum:
Qui autem miſericordiam abjicit, ſuámque avertit faciem,
Hunc execrantur multi, & conviciis proſequuntur.

28 Κρύφθεν ὑπαὶ φόβου ἄνδρες ἀνισταμένων μετ' ἀλειτέων·
Ὀλλυμένων δέ τ', ἀέξετ' ἐπὶ χθονὶ φῦλα δικαίων.

ΚΕΦ. κθʹ.

1 Ὅστις ἐλεγχόμενός περ πολλάκις οὐκέτ' ἐπείθη,
Αὐχένι δὲ στιβαρῷ πινυτῆς ζυγὸν ἐξετίναξεν,
Ἐξαπίνης ἀπολεῖται, ἄκος δ' οὐκ ἔσσετ' ὀπίσσω.
2 Γήθησαν λαοί, ὅτε κοιρανέουσι δίκαιοι·
Ὤμωξαν δέ τε λαοί, ὅτε κρατέουσιν ἀλεῖται.
3 Ὃς πινυτὴν φιλέει, πατρὶ φρένας ἔνδον ἰαίνει·
Οἶκον δὲ τρύχει, ὃς παλλακίδεσσιν ὁμιλεῖ.
4 Ἰθείῃσι δίκῃσιν ἄναξ ἱδρύσατο γαῖαν·
Ὃς δέ τε δωροφάγος πέσσει γέρα, πάμπαν ὄλεσσεν.
5 Ὃς κ' ἄλλῳ μύθοισι χαρίζηται μαλακοῖσιν,
Αἱμύλα κωτίλλων, πέτασε λίνον οἷσι πόδεσσιν.
6 Ἀμπλακίῃ κακοῦ ἀνδρὸς ἔνι βρόχος· ἀλλὰ δίκαιος
Τέρπετ' ἀγαλλόμενος, καὶ ἐϋφροσύνῃσιν ἀείδει.
7 Ἐσθλὸς ἀνὴρ ἐνόησε δίκην νεῖκός τε πενιχρῶν·
Ἀλλ' οὐκ οἶδεν ἀλιτρὸς ἐνὶ φρεσίν, οὔτ' ἀλεγίζει.
8 Πολλάκις ἐμπλέκεται ἐμπαικτέων ἀμπλακίῃσιν
Ἡ πόλις, ὡς ἅψισι λίνου ἁλοῦσα πανάγρου·
Μῆνιν δὲ στονόεσσαν ἐχέφρονες ἄνδρες ἔπαυσαν.
9 Νηπίῳ ἢν ἐριδαίνῃ ἀνὴρ πεπνυμένα εἰδώς,
Οὔποτέ τι πρήξει, οὐδ' οἱ κατάπαυμα γένοιτο,
Εἴτ' ἂρ ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ,
Εἴθ' ὅγε μειδιόων μιν μειλιχίοισι προσηύδα.
10 Αἰὲν ἀπεχθαίρουσιν ἀμύμονα φῶτα δαφοινοί·
Ἐσθλοὶ δὲ ζητεῦσι, λιλαιόμενοι φίλοι εἶναι.
11 Ἄφρων πάντ' ἀγορεύει ἅ, τε φρεσὶν ᾗσι μενοινᾷ·
Σιγῇ δ' ἐν στήθεσσιν ἀνὴρ ἔχει ὅστε περίφρων,
Ὄφρ' εἴπῃ μετόπισθεν, ὅθ' ὥρη ἔπλετο μύθων.
12 Εἰ ψεύδεσσιν ἄναξ ἀειήκοον οὖας ἐρείδει,

Πάντες

Occultantur præ timore viri ſurgentibus improbis:
Pereuntibus autem, augentur in terra tribus juſtorum.

CAP. XXIX.

Qui, reprehenſus licèt ſæpenumero, nondum obtemperat,
Cervice autem rigidâ prudentiæ jugum excutit,
Subitò peribit, remedium autem non erit poſtea.

Lætantur populi, quando imperant juſti:
Plorant autem populi, quando dominantur improbi.

Qui ſapientiam amat, patri mentem intùs exhilarat:
Subſtantiam autem atterit, qui cum meretricibus verſatur.

Rectis judiciis rex ſtabilit terram:
Qui autem donorum-vorator, concoquit præmia, funditùs (eam) (perdit.

Qui alteri dictis gratificatur mollibus,
Blandè garriens, expandit retia ejus pedibus.

In peccato mali hominis eſt laqueus: ſed juſtus
Delectatur exultans, & præ lætitiâ canit.

Vir bonus conſiderat jus, litémque pauperum:
Sed non novit improbus in animo, neque curat.

Sæpenumerò illaqueatur deriſorum peccatis
Civitas, tanquam nexibus lini capta omnia-venantis:
Iram autem funeſtam ſapientes viri ſedant.

Cum ſtulto ſi contendat vir prudens,
Nunquam aliquid efficiet, neque illi quies fuerit,
Sive torvè aſpiciens aſpero objurgaverit ſermone,
Sive ille ſubridens cum placidis (verbis) alloquatur.

Semper odio-habent integrum virum ſanguinolenti:
Juſti autem quærunt, cupientes ei amici eſſe.

Stultus omnia profatur, quæ animo ſuo cogitat:
Tacitè autem in pectore vir continet, qui ſapiens (eſt),
Ut dicat poſteà, cùm tempus fuerit ſermonum.

Si mendaciis rex attentam aurem applicat,

Πάντες ἑοὶ θεράποντες ἀτάσθαλα μηχανόωνται.
13 Πτωχὸς κερδαλέος τ' ἀλλήλοις ἀντεβόλησαν·
Ἀμφοτέρων δὲ Θεὸς φάος ὀφθαλμοῖσιν ἔδωκε.
14 Κείνου τοῦ βασιλῆος ἀεὶ θρόνος ἔμπεδος ἔσται,
Ὅς κε μετὰ πτωχοῖσι δίκην ἰθύντατα εἴπῃ.
15 Πληγαὶ μὲν καὶ ἐνιπαὶ ἐχέφρονα θυμὸν ἔθηκαν·
Μητέρα δ' ἣν ᾔσχυνε πάϊς, τόν τ' οὔτις ἐλέγχει.
16 Αὔξεται ἀμπλακίη ἅμ' ἀεξομένοισιν ἀλιτροῖς·
Τῶν δέ τ' ἀεικέα πότμον ἐσαθρήσουσι δίκαιοι.
17 Παῖδα τεὸν κολάσῃς, ὃ δὲ δώσει τοι ἀνάπαυσιν,
Καὶ τέρψει τεὸν ἦτορ ἐϋφροσύνῃσιν ἰαίνων.
18 Ἤχι θεοπροπίη οὐκ ἔπλετο, λαὸς ὄλωλε·
Θέσφατα δ' αὖ θεσμόν τε φυλάσσων ὄλβιός ἐστι.
19 Χρεὼ πληγέων θεράποντ', ἐπεὶ οὐκ ἐπέεσσι δαμάσθη,
Εὖ μὲν γὰρ νοέων περ ἐνὶ φρεσὶν, οὐχ ὑπακούσει,
Στῇ δ' ἀλλοφρονέων, ὡς οὐκ ἀΐοντι ἐοικώς.
20 Ἄνδρ' ἴδες ἀκριτόμυθον, ὅ τε θρασύς ἐστ' ἀγορητής;
Ἐλπωρὴν νύ κε μᾶλλον ἔχοις περὶ νηπυτίοιο.
21 Δοῦλον ὃς ἐξέτι παιδὸς ἐΰτρεφεν ἠδ' ἀτίταλλε,
Τῷ δ' ὁ μὲν υἱὸς ὄπιθεν, ἄναξ δέ τε ἔσσεται οἴκου.
22 Ἀνὴρ ὀξύχολος τίκτει ἔριν· ὃς δὲ κοτήεις,
Αἴσυλα πόλλ' ἔρδει, καὶ μαίνεται οὐκέτ' ἀνεκτῶς.
23 Ἧσιν ἀγηνορίῃς μινύθει βροτός· ὃς δέ τ' ἐνηής,
Καὶ χθαμαλὰ φρονέων, τιμὴ μέγ' οἱ ἔσσετ' ἔρεισμα.
24 Ὁ κλέπτῃ συνέειδος, ὁμήν τέ οἱ ἔλλαχεν αἶσαν,
Οἵ τ' αὐτοῦ ἐχθρὸς, καὶ ἐπίσπαστον κακὸν ἕξει·
Ὅς τ' ἐπεὶ οὖν ἄλλων στυγερὰς ἤκουσεν ἐπαρὰς,
Οὐκ ἐπέεσσιν ἔφηνεν, ἐπῄνεσσεν δὲ σιωπῇ.
25 Ταρβοσύνη, βρόχῳ ὥς, ἄτῃ ἐνέδησε βαρείῃ·
Ὃς δὲ Θεῷ πίσυνος, μάλ' ἕκηλος καὶ σόος ἔσται.
26 Πολλοὶ ἐέλδονται κεχαρισμένοι ἔμμεναι ἀρχῷ,
Τῷ τ' ἐπίηρα φέρουσιν, ἵνα σφίσιν ἵλαος εἴη·

Omnes ejus famuli improba machinantur.
  Pauper & verſutus ſibi invicem occurrunt:
Amborum autem Deus lumen oculis dedit.
  Illius regis ſemper thronus firmus erit,
Qui inter pauperes jus rectiſſimè dixerit.
  Verbera & increpationes prudentem animum reddunt:
Matrem autem ſuam pudefacit filius, quem nemo reprehendit.
  Creſcit improbitas ſimul cum creſcentibus peccatoribus,
Illorum autem turpem ruinam conſpicient juſti.
  Filium tuum corrigas, ille autem dabit tibi requiem,
Et delectabit cor tuum lætitiâ exhilarans.
  Ubi vaticinium non eſt, populus perit;
Divina autem oracula legémque ſervans felix eſt.
  Opus-eſt verberibus ſervo, quandoquidem verbis non domatur,
Bene enim intelligens licèt in animo, non reſpondet,
Stat autem aliud-agens. tanquam non audienti ſimilis.
  Hominem vides garrulum, quíque audax eſt prolocutor?
Spem potiùs habere-queas de ſtulto.
  Servum qui à puero bene-nutrit, & delicatè educat,
Illi hic filius poſteà, dominúſque erit familiæ.
  Homo bilioſus parit contentionem; quíque iracundus eſt,
Nefaria multa patrat, & inſanit non ampliùs tolerabiliter.
  Suâ ſuperbiâ attenuatur homo: qui autem mitis (eſt,)
Et humilia ſapiens, honor magnum ei erit fulcrum.
  Qui furi comes, parémque cum illo ſortitur portionem,
Sibíque ipſi inimicus (eſt) & ultrò-accerſitum malum habebit,
Qui poſtquam aliorum odioſas audierit imprecationes,
Non verbis oſtendit, approbat verò ſilentio,
  Timor, veluti laqueo, damno implicat gravi:
Qui autem Deo confiſus, valdè quietus, & ſalvus erit.
  Multi ſtudent accepti eſſe principi,
Eíque gratificantur, ut illis propitius ſit;

Ἐκ δὲ Θεοῦ δίκη ἐστὶ θεμιστεύοντος ἑκάστῳ.
27 Ἀνδρὶ μὲν ἰθυνόῳ στυγερώτατός ἐστιν ἀλείτης·
Ἀνέρι δ' αὖ τε κακῷ στυγερώτατός ἐστιν ἀμύμων.

ΚΕΦ. λ'.

1 ΤΑῦτ' ἔπε' Ἀγούροιο περίφρονος Ἰακίδαο,
Ἡ δὲ θεοπροπίη, ὅδ' ἀνὴρ τοῖον φάτο μῦθον,
Πρὸς δ' Ἰθίηλον ἔειπ', Ἰθίηλόν τ', Οὐκάλιόν τε.
2 Ἦ μὲν ἐγὼ δειλὸς πάντων περὶ νήπιος ἀνδρῶν,
Κτηνώδης δέ τε εἰμι, νόου δέ μοι οὐδ' ἔνι κόκκος,
Οὐδέ μοι ἀνδρόμεαί εἰσι φρένες, οὐδ' ἠβαιόν.
3 Οὐδέ τι μήδεα πύκν' ἐδάην, οὐδὲ φρένας ἐσθλὰς,
Οὐδέ μοι ἰδρείη ἔνι, ἥ θ' ὁσίοισιν ὀπηδεῖ.
4 Τίς ῥ' ἀπὸ γῆς ἀνέβη εἰς οὐρανὸν ἀστερόεντα;
Ἠὲ τίς οὐρανόθεν κατέβη ἐς ἀπείρονα γαῖαν;
Τίς δὲ πολυπλάγκτους ἀνέμους συλλέξατ' ἀγοστῷ,
Δραξάμενος βορέαο, καὶ ἄλλων ὅσοι ἄηται;
Φάρει τίς συνέδησεν ὕδωρ; τίς πείρατα γαίης
Πάντα πέριξ ἵδρυσε; τίς, ἠὲ τί οἱ ὄνομ' ἐστὶν,
Εἰ σύ γε που τόδε οἶσθα; τί δ' οὔνομα παιδὸς ἑοῖο;
5 Πάντα Θεοῦ ἔπε' ἁγνὰ πέλει· ὁ δὲ πᾶσι βροτοῖσιν,
Οἵ τ' αὐτῷ πίσυνοι, ἀσπὶς καὶ ἐπίρροθός ἐστι.
6 Μή τι λόγοισιν ἑοῖς προτιβάλλοις, μηδ' ἐπιθείης·
Μή σε ἐλέγχησι, ψεύστης τ' ἀναφανδὰ γένηαι.
7 Ταῦτα δύω σ' ἤτησα, σὺ δ' ἵλαθι. μηδ' ἀνάνευε,
Εἰσόκ' ἔτι ζώω, καὶ ὁρῶ φάος ἠελίοιο·
28 Πρῶτ' ἀπ' ἐμεῦ ματίην καὶ ψεύδεα νόσφιν ἔρυκε·
Δεύτερον αὖ μή μοι πενίην δὸς, μηδέ τι πλοῦτον,
Δὸς δέ μοι αἴσιμ' ἔδειν, σῖτός τέ μοι ἄρμενος εἴη
Ἄρκιος, ἁρμαλιή τε κακοῦ λιμοῦ ἀλεωρή.
9 Μή ποτ' ἐνιπλησθεὶς σέ τ' ἀνήνωμαι, σά τε δῶρα,
(Τίκτει γὰρ κόρος ὕβριν) ἰδ' εἴπω, Τίς Θεός ἐστιν;

Μὴ

Ex Deo autem jus eſt moderanti unicuique.
Viro juſto abominatus eſt improbus:
Homini rurſus malo abominatus eſt integer.

CAP. XXX.

HÆc verba ſunt Aguri prudentis Iakidæ,
Hæc autem prophetia; iſte vir talem locutus eſt ſermonem,
Ad Ithielem autem locutus eſt, Ithielémque Ucalémque.
Certè ego miſer præ omnibus inſipiens hominibus,
Brutúſque ſum, mentis autem mihi nè granum quidem ineſt.
Neque mihi humana ineſt intelligentia, nè vel minimum.
Nec conſilia prudentia didici, neque ſapientiam bonam,
Nec mihi ſcientia ineſt, quæ ſanctis adeſt.
Quis à terra aſcendit in cœlum ſtellatum?
Vel quis cœlitus deſcendit in immenſam terram?
Quis autem multivagos ventos collegit pugno,
Apprehendens Boream, & alios quotquot venti (ſunt)?
Pallio quis colligavit aquas? quis fines terræ
Omnes undique ſtabilivit? quis, aut quod illi nomen eſt,
Si tu fortè hoc noſti? quódve nomen filii ejus?
Omnia Dei verba pura ſunt: ille autem omnibus mortalibus,
Qui illi confidunt, clypeus, & adjutor eſt.
Nihil ſermonibus ejus adjicias, neque addas,
Nè te redarguat, mendáxque apertè fias.
Hæc duo à te petii, tu autem propitius eſto, neq; (ea mihi) abnega
Uſquedum vivo, & video lumen ſolis:
Primùm à me vanitatem, & mendacia longè prohibe;
Deinde etiam neque paupertatem mihi da, neque divitias,
Da autem mihi convenientia edere, victúſque mihi congruus ſit
Sufficiens, cibíque portio malæ famis remedium.
Nè unquam repletus téque abnegem, tuáque dona,
(Parit enim ſatietas petulantiam) & dicam, Quis Deus eſt?

Μήποτε καὶ πενίῃ εἴκων καὶ γαστρὶ πιθήσας
Ἀλλότρια κλέψω, καὶ οὔνομα μὰψ ἀλίτωμαι
Θεῖον· κλεπτοσύνη γὰρ ἀνάγκης ἐγγύθι ναίει.
10 Μὴ θεράποντά ποτε πρὸς ἄνακθ᾽ ἑὸν αἰτιόωο·
Μή σε καταρέοιτο, σὺ δ᾽ οὐκέτ᾽ ἀναίτιος εἴης.
11 Ἀνθρώπων γένος ἐστὶν, οἳ ἄλγεα πολλὰ καὶ ἄτας
Πατρὶ καταρῶνται, οὐδ᾽ εὐλογέουσι τεκοῦσαν.
12 Ἀνθρώπων γένος ἐσθ᾽ οἳ φασὶν ἀμύμονες εἶναι,
Αὐτοί τε σφετέροισιν ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι
Ἁγνοὶ, ἀμώμητοί τ᾽ ἄντην, καθαροί τε πέλονται·
Ἀλλ᾽ ἔτι τοῦ ῥυπόωσιν, ἄνιπτοι πάμπαν ἐόντες.
13 Ἄλλο μὲν οὖν γένος ἐστ᾽· ἀλλ᾽, ὢ πόποι, ὄμματα κείνων
Ὡς ὑπερήφανά τ᾽ εἰσὶ, καὶ ὡς βλέφαρ᾽ ἠερέθονται.
14 Τέτρατον αὖ γένος ἐσθ᾽, ὧν ὀξέες εἰσὶν ὀδόντες
Ὡς ξίφε᾽ ἀμφήκη, καὶ γομφίοι ὥστε μάχαιραι·
Πτωχοὺς ὄφρ᾽ ὀλέκωσιν ἀπὸ χθονὸς εὐρυοδείης,
Ἔκ τ᾽ ἀνδρῶν γενεῆς, κατέδωσί τε φῦλα πενιχρῶν.
15 Βδέλλῃ οὐλομένῃ δοιαὶ τελέθουσι θύγατρες,
Σχέτλιαι, αἵματος ἆται, Ἄγ᾽, οἶσε, φέρ᾽, οἶσε, λέγουσαι.
Ἄπληστα τρία τ᾽ εἰσὶ, τὰ καὶ κόρος οὔποθ᾽ ἱκάνει.
Ἀλλά γε τέσσαρ᾽ ἔασιν, ἃ, τ᾽ οὔποτέ φασ᾽, Ἅλις ἐστί.
16 Πρῶτα τάφος, γαστήρ τ᾽ ἄγονος, νῆϊς τε τόκοιο,
Γῆ ὑδάτων ἀκόρητος ἐοῦσα, καὶ ἀκάματον πῦρ,
Πῦρ ὀλοὸν τὸ καὶ οὔποτ᾽ ἄδην ἔφατ᾽ ἔδμεναι ὕλης.
17 Ὃς γὰρ πατρί θ᾽ ἑῷ τόλμησεν ἐφεψιάασθαι,
Μητέρα τ᾽ ἠτίμησε, καὶ οὐκ ἐπεπείθετο μύθῳ,
Νήπιος, ὢ μνηστῆσιν ἕλωρ ἔσετ᾽ οἰωνοῖσιν,
Ἐκ δέ οἱ ὀφθαλμοὺς κοράκων κακὰ φῦλα κολάψει
Ἐν βήσσῃς, δάψουσι δ᾽ ἀναιδέες αἰετιδῆες.
18 Πάντων ὅσσ᾽ ἄγαμαί τε τέθηπά τε πόλλ᾽ ἐνὶ θυμῷ,
Τὰ τρία μοι δοκέει ἐκπαγλότατ᾽ ἔμμεναι ἄλλων·
Ἀλλά γε τέσσαρ᾽ ἔασιν ἅ, τ᾽ οὐκ οἶδ᾽, οὐδ᾽ ἐνόησα,
Οἷα πέλει, θάμβος δέ μ᾽ ἔχει φρεσὶν ὁρμαίνοντα. Ἴχ-

Ne unquam vel paupertati cedens, & ventri obſequens
Aliena ſuffurer, & in nomen fruſtrà peccem
Divinum, furtum enim neceſſitatem propè habitat.
Nè ſervum unquam apud dominum ſuum accuſa,
Nè tibi imprecetur, tu autem non inſons fueris.
Genus hominum eſt, qui dolores multos, & damna
Patri imprecantur, neque benedicunt matri.
Hominum genus eſt, qui profitentur integros ſe eſſe,
Ipſique ſuis in oculis viſu
Mundi, inculpatíque coram, puríque ſunt,
Sed adhuc ſordibus inquinantur, illoti omnino exiſtentes.
Aliud autem genus eſt; ſed, papæ! oculi illorum
Quàm ſuperbi ſunt, & palpebræ illorum quàm attolluntur!
Quartum rurſus genus eſt, quorum acuti ſunt dentes
Tanquam gladii ancipites, dentéſque-molares tanquam enſes;
Egenos ut perdant de terra ampla,
Et ex hominum genere, devoréntque nationes pauperum.
Hirudini pernicioſæ binæ ſunt filiæ
Improbæ, ſanguine inſatiabiles, Age, affer, cedo, ſer dicentes:
Inexplebilia quoq; tria ſunt, quibus & ſatietas nunquam contingit:
Imò etiam quatuor ſunt, quæ nunquam dicunt, Satis eſt:
Primò, ſepulcrum (deinde) & venter ſterilis, inſciúsq; fœturæ,
Terra aquâ ſatiari neſcia, & indomitus ignis,
Ignis ſævus, qui nunquam putat ſe ſatis devorare materiæ.
Qui vel patri ſuo auſus-eſt convitiari,
Matrémque contemnit, nec obtemperat ſermoni,
Stultus crudiuoris præda erit volucribus,
Hi autem oculos corvorum malæ gentes exculpent
In convallibus, vorabúntque impudentes aquilarum-pulli.
Omnium quæ miror, ſtupeóqne multùm in animo,
Tria mihi videntur maximè mirabilia eſſe præ aliis,
Qualia ſint, admiratio autem me tenet animo cogitantem.
Imò quatuor ſunt, quæ non ſcio, neque intelligo,

19 Ἴχνιά τε πτερύγων, ὅταν αἰετὸς αἰθέρα τέμνῃ,
Ὁλκός τ' αὖ ὄφιος πέτρῃ ἐπὶ παιπαλοέσσῃ,
Ὑγρὰ κέλευθά τε νηὸς ἐπ' εὐρέα νῶτα θαλάσσης,
Καὶ ὁδὸς ἠϊθέου μετὰ παρθένου ἱμεροέσσης·
20 Ἡ δίκη ἐστὶ γυναικὸς ἀτασθάλου, ἥ τ' ἀπαφίσκει
Ὃν πόσιν ἀφραδίῃ, λέχος αἰσχύνουσα καὶ εὐνήν·
Ἥ τ' ἐπεὶ οὖν ἄρτον κρύβδ' ἤσθιεν ἀλλότριόν περ,
Χείλε' ὀμορξαμένη ἄφαρ εὔχεται οὐκ ἀλιτέσθαι.
21 Τὰ τρία εἰσίν, ὑφ' οἷσι μέγ' ἔστενε κινυμένη χθών·
Ἀλλά γε τέσσαρ' ἔασιν, ἃ τ' οὐ οἱ ἀνεκτὰ πέλονται.
22 Δοῦλος, ὅτε κρατέει, καὶ γίνεται ὄρχαμος ἀνδρῶν·
Ἄφρων, ὁππότε που ἐκορέσσατο θυμὸν ἐδωδῆς·
23 Μνηστὴ αὖ ἄλοχος, πρὶν ἀπεχθομένη πόσεϊ ᾧ·
Δούλη, δεσποίνης οἶκον κλῆρόν τε λαχοῦσα.
24 Τέσσαρα μικρὰ πέλονται ἐπὶ χθονὶ πουλυβοτείρῃ,
Μικρὰ μέν, ἀλλὰ μάλα μεγάλως πεπνυμένα εἰσί·
25 Πρῶτον μὲν μύρμηξ, οὐ λίην ἄλκιμον ἔθνος,
Ἀλλὰ καὶ αἶψα θέρευς ζωαρκέα σῖτον ἀγείρει,
Σπέρματα κακκρύπτων κοίλης ὑπὸ κεύθεσι γαίης,
Εὖ καὶ ἐπισταμένως, ἵνα μή ποθεν ἄλλοθεν ἄλφοι,
Ὄφρα τ' ἔχοι μετόπισθεν ὅ οἱ ποτιδόρπιον εἴη
Ὥρῃ χειμερίῃ, οἴκῳ τ' ἀπὸ λιμὸν ἀμύνοι·
Ὡς ὁ περίφρων ἐστί, καὶ ἴδρις σωρὸν ἀμᾶται
Ὀτραλέως, φίλον δ' ὀλίγον τελέθει πολύμοχθον.
26 Λαός τ' αὖ ἀλαπαδνὸς ἀκικύς τ' εἰσὶ λαγωοί,
Σπέσσι δ' ἐνὶ γλαφυροῖσι, καὶ ἐν πέτρῃσι βαθείῃς
Οἰκία τεκτήναντο ἑῷ καὶ ἐπίφρονι βουλῇ,
Φηρσὶν ὀρεσκῴοις ἵνα μὴ μεγ' ἔπηθρα γένωνται.
27 Ἀκρίδες οὔποτ' ἔχουσ' οὐ κοίρανον, οὐδὲ μέδοντα,
Ὅ σφιν σημαίνῃσιν, ὅμως στιχόωνται ἅπασαι
Ἰλαδὸν εἰς ἀγρὸν, καὶ ὁμηγερέες τε γίνονται.
28 Δράξατο χερσὶν ἑῇσιν ἀερσιπότητος ἀράχνης,

Μικκύλ

Veſtigia alarum, quando aquila aërem findit,
Sulcúſque ſerpentis petra in prærupta,
Humidæq; ſemitæ navis ſuper lata dorſa maris,
Et via juvenis cum puella amabili:
Hic mos eſt mulieris improbæ, quæ decipit
Suum maritum præ-ſtultitia, lectum dedecorans & cubile:
Quæ poſtquam panem clàm edit alienum,
Labia abſtergit, & mox profitetur ſe non peccaſſe.
Tria ſunt, ſub quibus multùm ingemiſcit commota terra:
Imò quatuor ſunt, quæ illi intolerabilia ſunt.
Servus, quando dominatur, & fit princeps hominum:
Stultus, cùm ſatiatus eſt in animo cibo:
Nupta uxor, priùs exoſa conjugi ſuo:
Serva, dominæ ſubſtantiam & hæreditatem nacta.
Quatuor parva ſunt ſuper terram almam,
Parva quidem, ſed certè magnopere prudentia ſunt.
Primùm formica, non admodum valida gens,
Sed mox æſtate vitæ-ſufficientem cibum colligit,
Semina abſcondens cavæ ſub foraminibus terræ,
Bene & ſcienter, ut nè aliunde paret,
Utque habeat poſtea quod ſibi in-cœnam ſit
Tempore hyberno, domóque famem propulſet:
Sic hæc prudens eſt, & ſciens acervum accumulat
Diligenter, natióque parva eſt laborioſa.
Populus etiam imbellis & invalidus ſunt cuniculi,
Speluncis autem in concavis, & in petris profundis
Domum ædificant mente, & prudenti conſilio,
Feris monticolis nè præda fiant.
Locuſtæ nunquam habent vel principem, vel imperatorem,
Qui illis moderetur, tamen ordine-procedunt omnes
Turmatim in agrum, & congregatæ ſunt.
Apprehendit manibus ſuis in-aere-ſuſpenſus araneus,

Μικκύλα μὲν κείνῳ τὰ χερύδρια, πολλὰ δὲ νήθει,
Ναίει δ' εἰν αὐλῇσιν ὑπερμενέων βασιλήων·
Τοῖς ὅγ' ὑπωρόφιος καὶ ἐφέστιος ἱστὸν ὑφαίνει
Λεπτὸν καὶ περίμετρον ἰδυίῃσι πραπίδεσσιν,
Ὕψι μάλα κρεμόων, καὶ δίκτυα λυγρὰ φυτεύει
Κερδοσύνῃ, μυίῃσι φόνον καὶ κῆρα φέροντα.
29 Τὰ τρία καλὰ βιβῶντα, μέγ' ἔπρεπε καὶ διὰ πάντων·
Τέσσαρά γ' εὖ ποσὶ βαίνει, ἀειπρεπέ' ἐστὶν ἰδέσθαι.
30 Πρῶτα λέων σίντης, οὗ τε κράτος ἐστὶ μέγιστον
Θηρσὶν ἐν ἀγροτέροις· ὁ δ' ὀρώρει ἀλκὶ πεποιθὼς,
Καί τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν,
Γλαυκιόων δ' ἰθὺς φέρεται μένει, οὐδέ τι ταρβεῖ
Ῥῆα μεταστρεφθείς· ἀλλ' εἴποτ' ἀπῆλθε βιασθεὶς,
Οὐ μὲν περιτροπάδην φεύγει, κραιπνοῖσι πόδεσσι
Θάρσυνος, ἀλλὰ βάδην ἀπιὼν μεγαλήτορι θυμῷ,
Ἐντροπαλιζόμενος τ' ὀλίγον γόνυ γουνὸς ἀμείβει.
31 Δεύτερον αὖ τε κύων πηγὸς, λαγόνεσσιν ἀρηρὼς,
Λεπταλέῃ ξυνοχῇ κρατερὴν ἐσφιγμένος ὀσφὺν,
Ἔξοχα θηρητὴρ, ὡς κνώδαλα ῥίμφα διώκει
Καρπαλίμοισι πόδεσσι, καὶ ἴχνεσι γοῦν περιήδη,
Καλὸς δ' εἰσοράασθαι, ὅ οἱ δέμας ἐσφήκωται.
Καὶ τράγος ἠϋγένειος, ἀνήρ τε καὶ ὄρχαμος αἰγῶν·
Καὶ σκηπτοῦχος ἄναξ, τοῦ τε σθένος οὐκ ἐπιεικτὸν,
Οὔτέ τις οἱ τλαίη κατεναντίον ὁρμηθῆναι,
Οὕνεκά μιν τίμησε Θεὸς, θάμβησε δὲ λαὸς
Ἐρχόμενον ἀνὰ ἄστυ, σέβας δ' ἔχει εἰσορόωντας.
32 Εἰ σύ ποτ' ἀφραίνων ὑπεροπλίῃσι πίθησας,
Ἤ τι ὑπερφίαλον ἔπος ἔκβαλες ἀφραδίῃσιν,
Ἢ κακὰ μήσαο ἔργ', ἐπὶ μάστακα χερσὶ πίεζε.
33 Ὡς ὅτε τις γάλα λευκὸν ἅλις κυκόων συνέπηξε,
Βούτυρον δέ τε πῖον ἐν ἄγγεσι τέτροφ' ἀνάγκῃ,
Ὥς τε ῥέει μέλαν αἷμα πιεζομένων ἀπὸ ῥινῶν·
Ὣς ἔρις ἔκ τε χόλου, ὅτε τις τ' ἄμοτον χαλεπαίνῃ.

Perexiguæ quidem illi manus, multa tamen net,
Incolit autem palatia præpotentium regum.
Eorum ille ſub-tecto habitans iiſque contubernalis telam texit,
Subtilem & orbicularem ſapientibus præcordiis
In ſublimi admodum ſuſpendens, & retia funeſta ſtruit
Aſtu, muſcis cædem, & fatum ferentia.
Tria pulchrè incedunt, & multùm excellunt inter omnia;
Imò quatuor, ſi quò eunt, admodum decora ſunt viſu:
Primùm leo ſævus, cujus robur eſt maximum
Feras inter agreſtes: ille autem ingruit robori confiſus,
Atque expectat tumultum advenientem magnum hominum,
Ardentibus autem oculis rectà fertur robore, neque timet
Facilè converſus: ſed ſiquando diſcedit coactus,
Non quidem effuſo-curſu fugit, velocibus pedibus
Fretus, ſed lento-gradu abiens magnanimo corde,
Subindéque reſpectans, vix pedem pedi præfert.
Deinde autem canis bene compactus, ilia ſuccinctus,
Gracili compage validos conſtrictus lumbos,
Eximius venator, quippe feras ocyùs perſequitur
Velocibus pedibus, in veſtigiis enim (odorandis) ſagaciſſimus eſt:
Pulcher autem eſt aſpectu, adeò ei corpus conſtringitur.
Et hircus bene-barbatus, vírque & dux caprarum:
Et ſceptriger rex, cujus robur invictum eſt,
Nec quis illum audeat adverſus inſurgere,
Quoniam illum honorat Deus; admiratur autem populus
Incedentem per urbem, veneratio autem tenet intuentes.
Si tu unquam deſipiens arrogantiâ fretus-fuiſti,
Vel aliquod ſuperbum verbum projeciſti ſtultitiâ,
Si mala meditatus es opera, os manibus opprime.
Quemadmodum cùm quis lac album affatim conturbans coagulat
Butyrum autem pingue in vaſis concreſcit coactè;
Et ſicut ſtillat ater ſanguis preſſis è naribus:
Sic contentio ex ira, cùm quis vehementer ſuccenſet.

ΚΕΦ. λα΄..

1 Ταῦτα Λεμουήλου ἔπε᾽ ἔπλετο τοῦ βασιλῆος,
Αἱ δ᾽ ὑποθημοσύναι, ἐδίδαξε δέ μιν τάδε μήτηρ.
2 Ἀλλὰ τί τέκνον ἐμόν; τί δ᾽ ἐμῆς γαστρὸς φίλε τέκνον;
Τί τείλλιστε τέκος, καὶ ἐμῶν τέκος εὐχωλάων;
3 Μήποτε σὴν ἀλκὴν δῷς θηλυτέρῃσι γυναιξί·
Μὴ τόδέ σοι φίλον ἔστω, ὃ καὶ βασιλῆας ὄλεσσεν.
4 Οὐ βασιλεῦσιν ἔοικε· Λεμουὴλ᾽, οἰνοποτάζειν,
Οὐ βασιλεῦσιν ἔοικ᾽· οὐδὲ χρὴ ἀνέρας ἀρχοὺς
Ἄκρητον μέθυ χανδὸν ἑλεῖν, ἀλλ᾽ αἴσιμα πίνειν·
5 Μή ποτε πίνοντες λελάθωνται πάγχυ δικάων,
Καὶ μετὰ τειρομένοις σκολιὰς κρίνωσι θέμιστας.
6 Ἀνέρι δὸς μέθυ ἡδὺ ὀϊομένῳ θανέεσθαι,
Δὸς δὲ μελίφρονα οἶνον, ὅσοι νεοπενθέα θυμὸν,
Πικρῇσίν τ᾽ ὀδύνῃσι πεπαρμένον ἦτορ ἔχουσι,
Ζωρότερον δὲ κέραιρε βροτῷ, ὃς πόλλ᾽ ἐμόγησεν,
Εἰπὲ δὲ, Τῆ, πίε οἶνον, ἐπεὶ πάθες ἄλγεα θυμῷ.
7 Πινέτω, οὐ οἱ ἀεικὲς, ἀκηράσιον ποτὸν ἡδὺ,
Νηπενθές τ᾽ ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων·
Ὄφρα καὶ οὐλομένης πενίης φρεσὶν ᾗσι λάθοιτο,
Μηδ᾽ ἔτι που μνήσαιτο δύης καὶ ὀϊζύος αἰνῆς,
Ἥ μιν ἔχεσκε πάρος, σκεδάται δ᾽ ἀπὸ κήδεα θυμοῦ.
8 Σὺ στόμ᾽ ἄνοιγε, καὶ ἴθι συνήγορος ἀνέρι δειλῷ,
Ὅς τ᾽ ἀκέων ἕστηκε, καὶ οὐ τόλμησ᾽ ἀγορεύειν·
Τῶν δὲ δίκην δικάσῃς, οἵ τ᾽ ἐγγύθεν εἰσὶν ὀλέθρου.
9 Ἐξαύδα, μὴ κεῦθε δίκην, ὁσίας δὲ θέμιστας
Κρῖνε. συνήγορος ἔσσο κεχρημένῳ ἠδὲ πενιχρῷ,
Εὐδικίας ἀνέχων, καὶ ὑπέρβιον ὕβριν ἀμύνων.
10 Τίς τοί κεν εὕροι ἀνὴρ ἐνὶ θηλυτέρῃσι γυναιξὶν
Ἐσθλήν τ᾽ ἰφθίμην τε, καὶ ἣ κ᾽ εὐεργὸς ἔῃσιν;
Οὐ γὰρ μάργαρά οἱ ἐρίτιμά περ ἰσοφαρίζοι.

Τῇ

CAP. XXXI.

HÆc Lemuelis verba ſunt regis,
Hæc autem monita, docuit autem eum iſta mater.

At quid, fili mi? quid uteri mei chare fili?
Quid, exoptatiſſime fili, & meorum fili votorum?

Nunquam tuum robur des fœminis mulieribus:
Neque hoc tibi volupe ſit, quod & reges perdit.

Non reges decet, Lemuel, vinum bibere:
Non reges decet: nec oportet principes
Meracum vinum avidè ſumere, ſed moderatè bibere:

Nè quando bibentes obliviſcantur omnino judiciorum,
Et inter oppreſſos obliqua decernant jura.

Homini da vinum dulce expectanti mori,
Da autem ſuave vinum (illis), qui recenti-mœrore-affectum animum
Amaríſque doloribus transfixum cor habent,
Meracius autem infunde homini, qui multa perpeſſus eſt,
Dic autem, Accipe, bibe vinum, quandoquidem toleraſti dolores in (animo.

Bibat, haud ei indecorum (eſt), purum potum ſuavem
Qui dolorem tollat, irámq;, & malorum oblivioné-inducat omniú:
Ut etiam pernicioſæ paupertatis in mente ſua obliviſcatur,
Nec ampliùs omnino reminiſcatur ærumnæ & miſeriæ gravis,
Quæ eum occupabat anteà, diſſipet autem curas ab animo.

Tu os aperi, & eſto patronus homini miſero,
Qui tacitus ſtat, & non audet eloqui:
Illorúmque cauſam judica, qui propè ſunt ad perditionem.

Eloquere, nè cela juſtitiam, ſanctáque jura
Judica, advocatus eſto egeno & pauperi,
Æquitatem honorans, & inſolentem injuriam propulſans.

Quis invenire-poterit vir inter fœminas mulieres
Probámque fortémque, & quæ bonis-operibus dedita fuerit?
Non enim margaritæ ei pretioſæ æquiparari-queant.

11 Τῇ πίσυνος, θάρσησεν ἀνὴρ φίλος ᾧ ἐνὶ θυμῷ,
Ἀφνειός τ' ἔμμεναι, καὶ ληΐδος οὐκ ἐπιδευής.
12 Ἐσθλὸν μὲν ῥέξει, οὔ τοι κακὸν, εἰςόκ' ἀϋτμὴ
Ἐν στήθεσσι μένῃ, καί οἱ φίλα γούνατ' ὀρώρῃ.
13 Εἰρία τε λίνα τε ζητεῖ, τά τε χερσὶν ἑῇσιν
Ἀσκεῖ οὐκ ἀέκουσ', ἕο τ' αὐτῆς ἔργα κομίζει.
14 Νηυσὶν δ' ἐμπόρου ἀνδρὸς ἐϋπλείῃσιν ἔοικεν,
Ὅν τε μελίφρονα σῖτον ἀπόπροθεν οἴκαδ' ἀγινεῖ.
15 Οὐδέ τι παννύχιος εὕδει οἰκουρὸς ἐοῦσα,
Ἦμος δ' οὔτ' ἄρ πω ἠὼς, ἔτι δ' ἀμφιλύκη νὺξ,
Ὀρνυμένη, οἴκῳ τε καὶ ἀμφιπόλοισιν ἑῇσιν
Ἀμφοτέροιν, σῖτον καὶ ἔργου μοῖραν ἔθηκε.
16 Κτήσατο πίονα ἀγρὸν, ὃν ἐφράσατ', εὖ τ' ἐνόησε·
Καὶ ὅτε χρήματα πολλὰ πόνῳ καὶ χερσὶν ἄγειρεν,
Ἔργων ἐξ ἰδίων καλὴν ἐφύτευσεν ἀλωήν.
17 Ζώσατο δ' ἣν ἰξὺν, μεγάλην ἐπιειμένη ἀλκὴν,
Κάρτεϊ τε σθένεϊ τε βραχίονας εὖ πυκάσασα.
18 Καὶ τόδε γὰρ σάφα οἶδεν ἐνὶ φρεσὶ πότνια μήτηρ,
Ὡς ἀγαθὴ πρῆξίς τε, καὶ ὡς ἀρετᾷ τὰ ἃ ἔργα·
Νύκτα δ' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι,
Λύχνος οἱ οὐκ ἔσβη, καμάτου δ' οὐ γίνετ' ἐρωή.
19 Φῆ χερνῆτις ἔμμεν· πολλὸν γὰρ πόνον τολυπεύει,
Ἄτρακτον στρωφῶσα, καὶ ἠλακάτην τανύουσα·
Χερσὶν ἐποιχομένη πολυδαίδαλον ἱστὸν ὑφαίνει,
Ἀγλαὸν, οὐδέ ποθ' οἱ μεταμώλια νήματ' ὄλοντο.
20 Πτωχῷ λευγαλέῳ ἐλεήμονα χεῖρα πέτασσε,
Χεῖρας ἑὰς ἐτάνυσσε κεχρημένῳ ἀνδρὶ προΐκτῃ.
21 Οὔποθ' ἑῷ οἴκῳ περιδείδιε, μή τι πάθῃσιν
Ἤματι τῷ, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας,
Χλωρὸς ὑπαὶ ῥίγευς· ὅτι εἵματα εἷαθ' ἕκαστος
Δίπτυχ', ἀλευόμενοι ῥιπὴν στυγεροῦ Βορέαο,
Οὐ μὲν ἀεικέλια, χλαίνας δέ τε φοινικοέσσας

Ἀμφ'

Eâ fretus, confidit conjux charus ſuo in animo,
Divitem ſe eſſe, & prædæ non indigentem,
Bene ei faciet, non malè, dum ſpiritus
In pectore manet, & ejus chara genua moventur.
Lanámque linúmque quærit, quæ & manibus ſuis
Exercet non invita, & ſui ipſius opera curat.
Navibus autem mercatoris viri bene refertis ſimilis eſt,
Suúmque dulcem cibum de longinquo domum apportat.
Neque totam noctem dormit domi cuſtos cùm ſit,
Cùm autem nondum eſt aurora, adhuc autem ſubluſtris nox,
Surgens, familiæque & ancillis ſuis
Utrumque, cibi & operis portionem dat.
Acquirit pinguem agrum, quem conſideravit benéq; obſervavit:
Et cùm opes multas labore, & manibus collegerit,
Operibus ex propriis pulchram plantat vineam.
Accingit autem ſuos lumbos, magnum induta robur,
Fortitudine, & viribus brachia bene ſtipans.
Hoc enim certò novit in animo veneranda mater,
Quòd bona(eſt)negotiatio (ſua),& quòd bene-ſuccedunt ſua opera;
Noctem per tenebroſam, quando dormiunt mortales cæteri,
Lucerna ei non extinguitur, laboris autem non eſt ceſſatio.
Profitetur ſe manibus eſſe netricem:multum a. laborem exantlat
Fuſum verſans, & colum extendens:
Manibus tractans artificioſam telam texit,
Splendidam, nec ei irrita fila pereunt.
Pauperi miſero miſericordem manum pandit,
Manus ſuas extendit egeno homini mendico.
Nunquam ſuæ familiæ timet, nè quid patiatur
Die illo, quando nix conſpergit agros,
Pallida præ frigore: quoniam veſtimentis induti ſunt ſinguli
Duplicibus, vitantes ictum horrendi boreæ,
Non certè ſordidis, ſed lænas puniceas

Ἀμφ' ὤμοισιν ἔχουσιν, ἀλεξανέμους, μάλα πυκνὰς,
Ἀμφότερον, κόσμον τ' ἔμμεναι, χειμῶνά τ' ἀλάλκειν,
Κήδει δεσποίνης, οὐδ' οἰοχίτωνες ἔασι.
22 Ῥήγεα δ' οἱ αὐτῇ ποιήσατο σιγαλόεντα,
Θαῦμα ἰδεῖν, μαλακούς τε τάπητας, δῖα γυναικῶν,
Τέχνῃ θεσπεσίῃ, χαρίεντα δὲ ἔργα τελείει.
Ἕννυται οὖν βύσσον, καὶ πορφύρῃ ἀμφεκαλύφθη.
23 Ῥεῖα δ' ἀριδείκετος καὶ ἑὸς πόσις εἰνὶ πύλῃσιν,
Ἀνδρῶν τ' εἰν ἀγορῇ, πάντων τ' ἀριδείκετος ἄλλων·
Ὁππότε δημογέροντες ὁμοῦ ἱερῷ ἐνὶ κύκλῳ
Εἵαται, ἔνθ' ὅγε πᾶσι μεταπρέπει ἀγρομένοισι.
24 Σινδόνα τεχνήσασα, λίνοιό τε λεπτὸν ἄωτον,
Σινδόν' εὔκλωστον, πολυϊδρείῃσι νόοιο,
Πέρνασκ' ἐμπόρῳ ἀνδρὶ, χάρις δ' ἀπελάμπετο πολλὴ
Καιροσέων ὀθονέων· μετὰ δ' οἱ ἐν χερσὶν ἔθηκε
Ζώνας, ἃς πώλησ' αὐτὴ, ὃ δ' ἄξιον ὦνον ἔδωκεν.
25 Ἀλκὴν καὶ τιμὴν φᾶρός τε χιτῶνά τε ἕστο·
Καί κέν οἱ ἦτορ ὀπίσσω εὐφροσύνῃσιν ἰανθῇ.
26 Μῦθον ἐϋφραδέως πύκα τε φρονέουσ' ἀγορεύει,
Λίην γὰρ πινυτὴ, καὶ ἐν φρεσὶ μήδεα οἶδεν·
Οὐδέ τι μιν θυμαλγὲς ἔπος φύγεν ἕρκος ὀδόντων,
Ἀλλ' οἱ ἀπὸ γλώσσης ἀγανοφροσύνης ῥέε θεσμὸς
Θεσπεσίης· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι.
27 Εὖ οἱ ἑοῦ οἴκου κομιδὴ ἔχει, εὖ δὲ νόησε
Τέκνα καὶ ἀμφιπόλους, καὶ ἐπίσκοπος ἔπλετο πάντων
Ἐξ οἰκωφελίης· βραδὺν δ' οὐκ ἤσθιεν ὄκνου,
Αὐτάρ οἱ ἔργα μέμηλε, πόνῳ δ' ἅμα σῖτον ὀφέλλει.
28 Τέκνα δέ μιν μακάριζον, ἄγη δ' ἔχεν, ὁππότ' ἀνέσαν,
Οἵην μητέρ' ἐσεῖδον, ἀμύμονά τε κρατερήν τε,
Χάρμα μέγ' ἐϋμμελέτῃσιν· ἐπῄνεσσε δέ μιν ἀνὴρ,
Οὕνεκα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσατ' ἄκοιτιν.
29 Πολλαί εἰσι θύγατρες ἀνὰ χθόνα πουλυβότειραν,

Circa humeros habent, ventum-propulſantes, valdè denſas,
Utrunque, & ornamento eſſe, frigúſque abarcere,
Curâ matris-familias, neque ſimplici-tantùm-tunicâ-induti ſunt.

Stragula ſibi ipſi conficit ſplendida,
Mirum viſu, mollé ſque tapetas, inſignis fœmina,
Arte egregiâ, elegantia verò opera perficit.
Induit igitur byſſum, & purpurâ circumtegitur.

Facilè autem notus etiam ejus maritus in portis,
Et virorum in congregatione, & præ omnibus conſpicuus aliis.
Quando populi-ſeniores ſimul ſacro in circulo
Sedent, ibi ille inter omnes eminet congregatos.

Sindonem cùm artificioſè fecerit, & ex lino ſubtile linteum,
Sindonem benè netam, peritiâ mentis,
Vendit mercatori, gratia autem reſplendet multa
Bene-textorum linteorum: tum verò ei in manus tradit
Zonas, quas elaboravit ipſa, ille autem dignum pretium dat.

Robur & honorem tanquam pallam, & tunicam induit:
Et ejus cor in poſterum lætitia exhilarabitur.

Sermonem prudenter, & rectè ſentiens loquitur,
Valdè enim ſapiens (eſt) & bene in animo conſilia callet:
Neque ullum ei acerbum verbum fugit ſeptum dentium,
Sed ei à lingua manſuetudinis fluit lex
Divinæ: omnibus enim novit clemens eſſe.

Bene ei ſuæ familiæ cura habet, bene autem conſiderat
Liberos, & ancillas, & inſpectrix eſt omnium
Ex cura-rei-domeſticæ: cibum autem non edit pigritiæ,
Sed ei opera ſunt-curæ, & ſimul cum labore victum auget.

Liberi autem (ejus) eam beatam-prædicant, admiratio autem eos tenet, cùm aſſurrexerint,
Eò-quòd-qualem matrem cernant, eximiámque & validam,
Gaudium magnum benevolis: laudat autem eam vir (ejus,)
Quoniam cum magna virtute poſſidet uxorem.

Multæ ſunt filiæ in terra alma

Αἵ περ ἀριστεύσασαι ἀγακλυτὰ ἔργα τέλεσσαν,
Τάων τε κλέος εὐρὺ, καὶ ἐσσομένῃσιν ἀοιδὴ,
Οἷά ποτ' εἰργάζοντο· σὺ δ' ἔξοχα κέδν' εἰδυῖα,
Παντοίῃς ἀρετῇσι κέκασσαι φῦλα γυναικῶν,
Πασάων περί τ' ἐσσὶ νόον, περί τ' ἐσσὶ καὶ ἔργα.
30 Ψευδαλέη χάρις ἐστὶ, κενὸν δέ τε κάλλος ὀπωπῆς,
Ὤλετο δ' ἥβης ἄνθος, ὅου χαριεστάτη αἴγλη·
Ἀλλὰ θεουδέα πάντες ἐπαινήσουσι γυναῖκα.
31 Ἧς ἀρετῆς ἀπόναιτο, καὶ ἄξιόν οἱ δότε μισθόν·
Αἰνείτω μιν ἃ ἔργα διαμπερὲς εἰνὶ πύλῃσι.

ΤΕΛΟΣ.

Quæ præclarè-rem-geſſerunt, & egregia opera perfecerunt,
Quarum & gloria ampla, & apud poſteros (erit) præconium
Eò-quòd talia aliquando effecerint:Tu autẽ præcipuè præ aliis honeſta ſciens,
Omnimodis virtutibus ſuperas nationes mulierum,
Omnéſque excellis prudentiâ, excellíſque operibus.

Fallax gratia eſt, mendax autem eſt pulchritudo vultûs,
Perit autem juventutis flos, cujus gratioſiſſimus ſplendor:
Sed piam omnes laudabunt mulierem.

Suâ virtute fruatur, & dignam ei date mercedem:
Laudent eam ſua opera perpetuò in portis.

FINIS.

ECCLESIASTES
Metricus,

Sive

CONCIO
SOLOMONIS

Græcis verſibus
expreſſa.

Ἐκκλησιαστής.

ΚΕΦ. α'.

1 Κήρυκος θείοιο τάδ' ἱερὰ θέσφατ' ἔασιν,
Ὃς Δαβίδαο μὲν υἱός, ἄναξ δ' ἦν Ἱροσολύμων.
2 Ὦ κενεοφροσύνης ἀπεράντου· φησὶν ὁ Κήρυξ·
Ὦ ματίης, ματίης τῶν βροτῶν· λῆρός τε, κόνις τε,
Λῆρος πάντα πέλει, καὶ πομφολύγεσσιν ὅμοια.
3 Καὶ τί γὰρ ἀνέρι ἦδος ὀϊζύος ἣν ἐμόγησε,
Καὶ πόνου ὃν τολύπευσεν ὑπ' αὐγὰς ἠελίοιο;
4 Ἀνθρώπων γενεὴ ἡ μὲν φύει, ἡ δ' ἀπολήγει·
Γαῖα δ' ἔνερθε πέπηγε, καὶ ἔστη νωλεμὲς αἰεί.
5 Ὄρνυται ἠέλιος, στείχει τε πρὸς οὐρανὸν εὐρὺν,
Καὶ πάλιν ἠέλιος τερψίμβροτος εἶσ' ὑπὸ γαῖαν,
Χῶρον ἰδεῖν μεμαώς, ὅθεν ὁρμώμενος ἐξεφαάνθη,
Τοῦ δὲ περιπλομένου δρόμος ἄνεται ἠθάδι κύκλῳ.
6 Πρὸς νότον ἱέμενος τρέπεται πάλιν ἐς βορέαο
Δινηθεὶς ἄνεμος, θύει δέ τε συννεχὲς αἰεὶ
Ῥιπῇσι λιγυρῇσι πολυστροφάλιγγος ἀήτου,
Ἠέρα μαστίζων, ὀχλῇσι δ' ἑῇσιν ἑλιχθεὶς
Ῥεῖα μεταστρέφεται· ἦ γὰρ δίκη ἔστ' ἀνέμοιο.
7 Εἰς ἅλα πορφυρέην ποταμοὶ προρέουσιν ἅπαντες,
Ἔνθα δὲ συμβάλλουσιν ἐπήτειμοι ὄβριμον ὕδωρ
Ἠχῇ θεσπεσίῃ· τίσσων δέ τε τῶν περ ἐόντων
Οὐχ ἅλις ἐστὶν ἁλὶ, πλείη τ' οὐκ ἔστι θάλασσα·
Ἀλλ' ἄμυδις ποταμοὶ, ὅθεν ἤλυθον, ἔνθα νέονται·
8 Οὐδὲν ἄτερ καμάτου· πάντη πόνος· ἔργον ἐπ' ἔργῳ·
Οὐκ ἄν τις τόσα κήδε' ἐνίσπῃ, οὐδ' ὀνομήνῃ·
Ὀφθαλμός τε βροτῶν, ὃς γλαύκεα πολλὰ δοκεύει,
Παπταίνων ἐμόγησε, κόρον δ' οὐχ εὗρεν ὀπωπῆς,
Οὖς ἀΐον τ' ἐμόγησε, κόρον δ' οὐχ εὗρεν ἀκουῆς.

Ὁ

Eccleſiaſtes.

CAP. I.

PRæconis divini hæc ſacra Oracula ſunt,
Qui Davidis filius, rex autem erat Hieroſolymorum.
O vanitatem infinitam! inquit Præco,
O vanitatem,inſaniámq; mortalium! nugæq; pulvíſq;
Nugæ omnia ſunt, & bullis ſimilia.
Ecquid enim homini utilitatis ex ærumna quam tolerat,
Et labore quem conficit ſub ſplendore ſolis?
Hominum generatio alia oritur, alia autem deſinit:
Terra autem ſubtùs fixa-eſt, & ſtat perpetuò ſemper.
Oritur ſol, & vadit ad cœlum amplum,
Et rurſus ſol delectans-homines it ſub terram,
Locum videre geſtiens, unde ortus apparuit,
Ejus autem circumeuntis curſus perficitur ſolito circulo.
Ad Notum tendens vertitur rurſus ad Boream
Circumactus ventus, ruit autem continuò ſemper
Ictibus ſtridulis verſatilis flatûs,
Aërem verberans, gyris autem ſuis circumvolutus
Facilè convertitur: hic enim mos eſt venti.
In mare profundum fluvii fluunt omnes,
Ibi verò conferunt denſi ingentem aquam
Sonitu magno: tot verò licet hi fuerint,
Non ſatis eſt mari, plenúmque non eſt pelagus:
Utcunque ſimul fluvii, unde venêrunt, illùc redeunt.
Nihil absque labore: undique negotium: opus poſt opus:
Haud quiſquam tot moleſtias referre-queat, neque recenſere;
Etiam oculus humanus, qui ſpectatu digna multa obſervat,
Circumſpiciendo defeſſus-eſt, ſatietatem autẽ non invenit aſpectûs,
Auríſq; audiendo fatigatur, ſatietatem autem non invenit auditûs.

Ὃ πρὶν ἔην, πέλει τοῦθ᾽, ὅπερ ἔσσεται ὕστερον αὖθις,
Καὶ ὅ, τι γίνεται ἤδη, ὃ κεν μετόπισθε γένηται,
Οὐδέ τι καινὸν ἐτύχθη ὑπ᾽ αὐγὰς ἠελίοιο.
10 Ἦ ῥά νυ γάρ τι που ἐστὶν, ὅ κέν τις ὁρώμενος εἴποι,
Ἠνὶ δὲ νῦν, τόδε καινὸν ἔφυ· τίς τοῖον ὄπωπε;
Θαῦμά μ᾽ ἔχει, ἐπεὶ οὔ τι πάρος τοιοῦτιν ἐτύχθη·
Νήπιος, οὐδ᾽ ἐνόησε πάλαι ποτὲ καὶ τὸ γενέσθαι,
Ἀνδράσι πὰρ προτέροισι, πρὶν ἐλθεῖν ἄμμε φόωσδε.
11 Ὅσσα τὸ πρὶν ἐγένοντο, παρῳχήκασιν ἅπαντα,
Οὐδέ τις αὐτῶν μνήμη ἐν ἀνθρώποισι λέλειπται·
Ὅσσα τ᾽ ὄπισθεν ἔσονται ἐν ἐρχομένῃς γενεῇσιν,
Ὅσσα τε καὶ μετὰ ταῦτα, ἄϊστά τ᾽ ἄπυστά τε πάντα
Ἂν χθόνα, τῶν δ᾽ οὔτις μεμνήσεται, οὐδ᾽ ἐν ὀνείρῳ.
12 Αὐτὸς ἐγὼ Κήρυξ βασιλεὺς ἦν Ἱεροσολύμων,
Ἀβραμιδέων γενεῆς, Ἰσραήλοιό τ᾽ ἀνάσσων.
13 Σπουδῇ δ᾽ ἐν φρεσὶ θῆκα νόῳ καὶ ἐπίφρονι βουλῇ
Ζητεῖν εἶά ποτ᾽ ἐστὶν ὑπ᾽ οὐρανὸν αἰγλήεντα
Πάντα μάλ᾽ ὅσσα τέτυκται, ἐρευνᾷν τ᾽ ἠδὲ μεταλλᾷν·
Τοῦτον γὰρ πόνον αἰπὺν ὀϊζυροῖσι βροτοῖσι
Δῶκε Θεὸς, ἵνα τόνδε μογοῦντες πολλὰ πάθωσι.
14 Πάντ᾽ ἴδον ἔργ᾽ ὅσα γίνεθ᾽ ὑπ᾽ αὐγὰς ἠελίοιο,
Πάντα δ᾽ (ἰδοὺ) ματίη τε κενὴ, ταραχή τε νόοιο.
15 Οὐδέποτ᾽ ὀρθοῦσθαι δύναται, ὃ στρεβλὸν ἐτύχθη·
Οὐδέ τ᾽ ἀριθμεῖσθαι, οὕπερ νύ τις ἔστ᾽ ἐπιδευής.
16 Καὶ τότ᾽ ἐμὸν προσέειπον ἐνὶ στήθεσσι φίλον κῆρ,
Ἠνὶ δ᾽ ἐγὼ μέγας εἰμὶ, καὶ ὄλβιος ἐν μερόπεσσι,
Καὶ πάντων περίειμι νόον, πέρι τε φρένας ἐσθλὰς,
Ὅσσοι ἐνὶ Σολύμοις πρὸ ἐμεῦ τράφεν, ἠδ᾽ ἐγένοντο.
Κῆρ δέ τέ μευ βουλῇσι πεπείρηται πυκινῇσι,
Καὶ πινυτὴν δέδαηκε, καὶ ἰδμοσύνην ἐρατεινήν.
17 Αἰνῶς δ᾽ ἐν φρεσὶ βάλλον, ὅλος δ᾽ ἐν τοῖσδεσιν ἦα,
Ἴδμεν᾽ ἐχεφροσύνην, καὶ μήδεα πυκνὰ δαῆναι,

Γινώ-

Quod antehac fuit, eſt hoc quod-etiam erit poſteà rurſus,
Et quodcunque fit modò, (id) quod in-poſterum fiet,
Nec quicquam novum eſt ſub ſplendore ſolis.

Nunquid enim uſpiam eſt, quod quis videns dicat,
Ecce nunc, hoc novum exortum-eſt: quis hujuſmodi-rem vidit?
Admiratio me tenet, quippe nihil antehàc tale factum-eſt:
Stolidus, neq; animadvertit olim quandoq; etiam hoc factum-fuiſſe,
Homines apud priſcos, priuſquàm venerimus nos in-lucem,

Quæcunque prius fuerunt, præterlapſa-ſunt omnia,
Nec ulla eorum memoria inter homines relicta-eſt:
Quæque poſthac erunt in venturis ſeculis,
Quæque etiam poſt hæc, incognitáque & inaudita omnia
Per terram, eorum autem nemo recordabitur, nec in ſomnio.

Ipſe ego **Præco** Rex eram Hieroſolymorum,
Abramidarum genti, Iſraelíque imperans.

Sedulò autem in mente poſui, animo & prudenti conſilio
Inquirere qualia tandem ſunt ſub cœlo ſplendido
Omnia omnino quæ fiunt, inveſtigare etiam & ſcrutari:
Hunc enim laborem arduum miſeris mortalibus
Dedit Deus, ut eum tolerantes multa paterentur.

Omnia vidi opera, quæcunque fiunt ſub ſplendore ſolis,
Omnia autem (ecce!) vanitáſque mala, & perturbatio animi.

Nunquam rectum-fieri poteſt quod tortuoſum eſt:
Neque (id) numerari, cujus aliquis eſt indigens.

Et tunc meum allocutus-ſum in pectore charum cor,
Ecce ego magnus ſum, & felix inter homines,
Et omnes antecello prudentiâ, & mente bonâ,
Quotquot in Solymis ante me educati ſunt, & nati.

Cor autem meum conſiliorum experientiam-habuit prudentium,
Et ſapientiam didicit, & ſcientiam amabilem.

Vehementer autem animum adjeci, totus autem in his eram,
Ut ſcirem prudentiam, & conſilia ſolertia cognoſcerem,

Γινώσκειν μανίην τε, χαλιφροσύνην τε νόοιο·
Ἔγνων δ' ὡς καὶ τοῦτο κακὸν θυμοφθόρον ἦε.
18 Πολλῇ γὰρ πινυτῇ πολλὴ ἐνί τ' ἔστιν ἀνίη·
Ἰδρείην δ' ὃς ἀέξει ἀνὴρ, ἅμα πένθος ἀέξει.

ΚΕΦ. β'.

1 ΚΑὶ τότ' ἐμὸν προσέειπον ἐνὶ στήθεσσι φίλον κῆρ,
Εἶ δ' ἄγε νῦν, κραδίη, πειρήσομαι ὅ, ττεό σε χρή·
Ἢ που γηθοσύνη τοι ἅδε φρεσὶν, ἥ δέ τε πολλοὺς
Θέλγει· ἄγ' οὖν, τέρπευ, καὶ εὐφροσύνῃσιν ἰαίνευ·
Καὶ τόγ' (ἰδού!) λῆρός τε κακὸς, ματίη τ' ἀλεγεινή.
2 Εἶπα, Γέλως μὲν μαίνετ'· εὐφροσύνη τί δ' ὄνησιν;
Ἢ καὶ τίς πρῆξις πέλε χάρματος, εἴ ποθ' ἱκάνει;
3 Μερμήριξα δ' ἔπειτα κατὰ φρένας, αἴθοπα οἶνον
Ἀσπασίως πέμπων, (πινυτὴν δ' ἔτι θῆκ' ἐνὶ θυμῷ)
Καί τι χαλιφροσύνης ἐπιβήμεναι, ὄφρ' εὖ εἰδῶ
Ποῖον ἔην τόδε καλὸν ἰδ' αἴσιμον ἀνθρώποισιν,
Ἔρδειν ὅ σφιν ἔοικεν ὑπ' οὐρανὸν ἤματα πάντα
Νωλεμὲς, εἰσόκ' ἀϋτμὴ ἐνὶ στήθεσσι μένῃσι.
4 Τεῦξα δέ μοι μεγάλ' ἔργα, περικλυτὰ, θαῦμα ἰδέσθαι,
Ἀσκήσας· καὶ ἔδειμα δόμους, ἐφύτευσά τ' ἀλωάς.
5 Κήπους μοι ποίησα, καὶ ὄρχους τηλεθόωντας·
Ἔνθα δὲ δένδρεα καλ' ἐυθημοσύνῃσι φύτευσα,
Ὥρῃ παντοίοισιν ἀεὶ βεβριθότα καρποῖς.
6 Τεῦξα δέ μοι κρήνας ὕδατος, φυτὰ πυκνὰ ποτίζειν,
Ὄφρα θ' ἅλις πίνῃ τέμενος, τεθαλυῖά τ' ἀλωὴ,
Ὕλη τ' ἀρδμὸν ἔχῃ, ὅθι δένδρεα μακρὰ πεφύκει.
7 Δμῶας ἔχον, δμωάς τε, καὶ οἰκογενεῖς θεράποντας,
Οἵ μοι ὑπέδρησσον· βίοτος δέ μοι ἄσπετος ἦε,
Πολλαί τε κτηνέων ἀγέλαι, καὶ πώεα μήλων,
Ὧν ῥυδὸν ἀφνειὸς, πολυπάμμων τ' ἦν πέρι πάντων,
Ὅσσοι ἐνὶ Σολύμοις πρὸ ἐμεῦ τράφεν, ἠδ' ἐγένοντο.

Χρυ

Ut intelligerem inſaniámque & ſtultitiam mentis:
Senſi autem quòd & hoc malum mentem-affligens erat,
In multa enim prudentia multa ineſt triſtitia:
Scientiam autem qui auget vir, ſimul dolorem auget.

CAP. II.

ET tunc meum allocutus ſum in pectore charum cor,
Eia age nunc, O cor, tentabo quid tibi opus ſit:
Utique fortaſſe lætitia tibi placet mente, quæ & multos
Demulcet: age igitur, voluptatibus fruere, & gaudiis exhilarare:
Et hoc (ecce!) nugæque malæ, vanitáſque miſerabilis.
Dixi, Riſus inſanit: hilaritas autem quid prodeſt?
Aut quis effectus eſt lætitiæ, ſi quando venit?
Cogitavi autem deinde in animo, nigrum vinum
Libenter bibere, (prudentiam autem adhuc poſui in animo)
Et aliquantulum ſtultitiæ indulgere, ut probe ſcirem
Quodnam eſſet illud bonum, & juſtum hominibus,
Quod illos facere decet ſub cœlo dies omnes
Perpetuò, quamdiu ſpiritus in pectore manſerit.
Feci autem mihi magna opera, præclara, mirum viſu,
Elaborans: & extruxi domos, & plantavi vineas.
Hortos mihi feci, & quincunces florentes:
Ibi autem arbores pulchras bono-ordine plantavi,
In-tempore variis ſemper onuſtas fructibus.
Feci autem mihi fontes aquæ, plantas frequentes irrigare,
Ut affatim biberet nemus, florénſque viridarium,
Sylváque rigationem habeat, ubi arbores longæ creſcunt,
Famulos habebam famuláſque, & domi-natos ſervos,
Qui mihi miniſtrabant: ſubſtantia autem mihi ingens erat,
Multáque pecudum armenta, & greges pecorum,
Quorum abundè dives, locupléſque eram ſupra omnes,
Quotquot in Solymis ante me educati ſunt, & nati.

8 Χρυσόν μοι νήησα, καὶ ἄργυρον ἤλιθα πολλὸν,
Καὶ κειμήλια πόλλ', ὅσ' ἀνάκτων παῖδες ἔχουσιν,
Ὅσσα τ' ἐϋκτιμένῃσιν ἀγηγέρατ' ἐν πολίεσσι,
Καὶ χώρης, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται.
Οὐδέ ποτε γλυκερῆς θυμός μοι ἐδεύετο μολπῆς,
Οὐδέ τι κηληθμοῖο, ἀοιδοὺς γὰρ κτεάτισσα,
Ἀνέρας ἠδὲ γυναῖκας ἀειδούσας ὀπὶ καλῇ
Ἡδὺ μάλ', ἄλλα τε ὅσσα βροτῶν θελκτήριά εἰσιν,
Ὄργανά τ' ἠχήεντα, τά τις φρένα τέρπετ' ἀκούων,
Φθογγῆς παντοίης, ἐμπνουστὰ καὶ ἐντάτ' ἔχεσκον.
9 Ὡς μὲν ἐγὼ μέγας ἦν, καὶ ἀεξόμενος περὶ πάντων
Οἳ πρὸ ἐμοῦ ἐγένοντο ἐνὶ Σολύμοισιν ἐραννοῖς.
Οὐδέ τι νήπιος ἦα, νόος δέ μοι ἐσθλὸς ὀπήδει.
10 Ὅ, τι καὶ ὀφθαλμοῖσιν ἐμοῖς κεχαρισμένον ἦε,
Τοῖσιν ὄρεξα φέρων, ἄλιον δ' οὐκ ἦεν ἐέλδωρ,
Οὐδέ τι μεῦ κραδίην ἀποέργαθον εὐφροσυνάων.
Τέρπετο γάρ μοι κῆρ, καὶ ἐνὶ φρεσὶ θυμὸς ἰάνθη,
Ἔργων μεῦ πάντων ἀπονήμενος, ἠδὲ πόνοιο·
Ἥδε τέ μοι καὶ μοῖρα πέλεν, καμάτοιό τε μισθός.
11 Καὶ τότε πάντ' ἴδον ἔργ' ὅσα χερσὶν ἐμῇσιν ἔρεξα,
Καὶ πόνον, ὃν τολύπευσα πονεύμενος, εὖ ἐνόησα·
Πάντα τ' (ἰδοὺ) λῆρος, κακότης δέ τε θυμὸν ἔδουσα,
Οὐδέ τι ἔπλετ' ὄνειαρ ὑπ' ἠέλιον φαέθοντα.
12 Στρεφθεὶς αὖ πινυτὴν μέμονα φρεσὶ θηήσασθαι,
Καὶ μανίην, μανίης τε κασιγνήτην καὶ ἑταίρην
Ἀφροσύνην· τί γὰρ ἔρξαι ἀνὴρ δύναθ', ὃς μετ' ἄνακτα
Τοιόνδ' ὕστερος ἦλθε; τὸ γὰρ καὶ πρὶν τετέλεστο.
13 Καὶ τότε μὲν σάφα οἶδα καὶ ὀφθαλμοῖσιν ὄπωπα,
Ὅττι σαοφροσύνη περιγίνεται ἀφροσυνάων
Τόσσον, ὅσον τε φάος περὶ ἀχλύος ἐστ' ἐρεβεννῆς.
14 Ἐν κεφαλῇ ἀνδρὸς πεπνυμένου ὄμματ' ἔασιν,
Ἄφρων δ' ἐν ζόφῳ ἐστὶ, καὶ οὐκ ἴδεν ὁππόσε βαίνει,

Ποσσὶ

Aurum mihi cumulavi, & argentum valdè multum,
Et theſauros multos, quos regum filii habent,
Et quæcunque bene-exſtructis congeſta ſunt in urbibus,
Et regionibus, ubi plurima in domibus poſſeſſiones jacent:
Neque unquam dulci animus meus egebat cantu,
Neque delinimento; cantores autem acquiſivi,
Viros & fœminas cantantes voce pulchrâ
Suave admodum, aliáque quæcunque mortalium oblectamenta ſint,
Inſtrumentáque ſonora, quæ quis animo delectatur audiens,
Soni omnimodi, inflata & intenta habebam.

Sic ego magnus eram, & amplificatus præ omnibus
Qui ante me erant in Solymis amœnis:
Neque inſipiens eram, intelligentia autem bona mihi aderat.

Quicquid etiam oculis meis gratum erat,
Id illis præbui ferens, vanum autem non erat (eorum) deſiderium,
Nec omnino meum cor prohibebam à lætitia:
Delectabatur enim mihi cor, & in mente animus gaudebat,
Ex operibus meis omnibus fructum-capiens, & labore:
Hæc mihi portio erat, laboríſque præmium.

Et tunc omnia vidi opera, quæcunq; manibus meis feci,
Et laborem, quem confeci laborans, bene obſervavi:
Omniáque (ecce!) nugæ, & ærumna animum rodens,
Nec ullum erat emolumentum ſub ſole ſplendente.

Converſus deinde ſapientiam cupiebam mente perſpicere,
Et inſaniam, inſaniæque germanam, & ſociam
Stultitiam: Quid enim facere vir poteſt, qui poſt regem
Talem poſterior venit? quod & antea factum eſt.

Et tunc certò novi, & oculis vidi,
Quòd ſapientia excellit ſtultitiam
Tantùm, quantùm lux ſuperat tenebras obſcuras.

In capite viri ſapientis oculi ſunt,
Stultus autem in tenebris eſt, & non videt quò vadit,

Ποσσὶν ἀλιτεύων, ὅτι μιν σκότος ἀμφεκάλυψεν.
15 [s]Εἶπον ἐνὶ κραδίῃ, [t]Οἵη ἀεσίφρονι φωτὶ
Μοῖρα πέλει, τοίη καὶ ἐμοὶ πινυτῷ περ ἐόντι·
Μάψ· τί γὰρ οὖν πινυτῆς ἦδος; τί δέ μοι μέγ᾽ ὄνειαρ
Μᾶλλον πεπνύσθαι, περί τε φρένας ἔμμεναι ἄλλων;
[v]Εἶπον δ᾽ ἐν κραδίῃ, Ματίη τόδε τ᾽ ἔστ᾽ ἀλεγεινή.
16 Οὐ γάρ πω τις μνήμη ἐχέφρονος ἀνέρος ἐστὶ
Μᾶλλον ἢ ἠλιθίοιο, διαμπερὲς ἐν μερόπεσσι,
Καὶ γὰρ ὅπερ νῦν ἐστι, παρ᾽ ἐσσομένοισιν ὀλεῖται,
Λήθῃ ἀϊστωθὲν, καὶ οὐκέτι φῆμις ὀπίσσω·
Πῶς γὰρ θνήσκει ἀνὴρ πεπνυμένος; ὥστε χαλίφρων.
17 Τοὔνεκά μοι ἐχθρὸς βίος ἔπλετο, τεῖρε γὰρ αἰνῶς
[x]Ἔργον ὅπερ τετέλεσται ὑπ᾽ αὐγὰς ἠελίοιο,
Καὶ πένθος ἀργαλέος, τὸν ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων
Αἰὲν ὀϊζύουσι· μέγα δ᾽ ἄχθομαι, οἷα μόγησα·
Πάντα γὰρ οὐλομένη ματίη, θυμοῖό τ᾽ ἀνίη.
18 Ἀλλά γε πάντα πόνον, τὸν ὑπ᾽ ἠέλιον τολύπευσα,
Καὶ βίοτον, τὸν ἄγειρα πόνῳ καὶ χερσὶν ἐμῇσιν,
[y]Ἔστυγον, οὔτι λίην ἀπονήμενος, οὕνεκ᾽ ἔμελλον
Ἀνέρι καλλιπέειν, ὃς ὄπισθεν τῆνδε λάχῃσι.
19 Τίς δ᾽ οἶδ᾽ εἰ πινυτός που ὅγ᾽ ἔσσεται, ἠὲ χαλίφρων·
Ἀλλ᾽ ἔμπης οἴκοιο ἄναξ ἔσσεθ᾽ ἡμετέροιο,
Καὶ βιότου, τὸν ἄγειρα πόνῳ, πινυτῇ τε νόοιο,
Φαίνων μήδεα πυκνὰ ὑπ᾽ οὐρανὸν ἠέλιόν τε·
[z]Ὡς ἄρα μάψ ἔκαμόν τε καὶ ἔτλην, ὅσσ᾽ ἐμόγησα
Ἀλλήκτῳ κραδίῃ ματίη τόδε γ᾽ ἔστ᾽ ἀλεγεινή·
20 Τοὔνεκ᾽ ἀελπέα θυμὸν ἐνὶ στήθεσσιν ἔθηκα,
Κῆρ δέ μοι οὐκέτ᾽ ἐώλπει ὀϊζυροῖο πόνοιο
Οὐδ᾽ ὀλίγον περ ὄνασθαι, ὑφ᾽ ἥλιον ὃν τολύπευσα.
21 [a]Ἔστιν ὃς ἀμφιπονεῖται ἐϋφροσύνην ἐρατεινὴν,
Ἰδρείην τε δίκην τε, τὰ γὰρ φρεσὶν ᾗσιν ἄρηρεν·
Ἀνδρὶ δ᾽ ὅμως μετόπισθεν, ᾧ οὔποτε τοῖα μέμηλε,

Pedibus errans, quia eum tenebræ obvolvunt.
Dixi in corde, Qualis inſipienti homini
Sors eſt, talis & mihi ſapienti quamvis exiſtenti:
Fruſtrà: quænam igitur ſapientiæ utilitas? quod autem mihi magnum [commodum (eſt)
Magìs ſapere, prudentiâque excellere alios?
Dixi verò in corde, Vanitas etiam hoc eſt miſeranda.

Non enim ulla memoria prudentis viri eſt
Magìs quàm ſtolidi, perpetuò inter homines,
Etenim id quod nunc eſt, apud poſteros peribit,
Oblivione abolitum, & non-ampliùs rumor (de eo) poſteà:
Quomodo verò moritur vir ſapiens? ſicut ſtultus.

Idcircò mihi exoſa vita erat, vexabat enim graviter
Opus quod fit ſub ſplendore ſolis,
Et labor difficilis, quem in terra gentes hominum
Semper ærumnosè-exantlamus, valdè autem crucior, eò-quòd-talia (paſſus-ſum:
Omnia enim perniciosa vanitas, animíque vexatio.

Sed & univerſum laborem, quem ſub ſole ſuſtinui,
Et ſubſtantiam, quam collegi labore & manibus meis,
Odi, haud-quicquam admodum (exinde) fructû percipiens, eò-quòd futurus eram
Homini (eam) relinquere, qui poſteà (eam) ſortitò-obtineret.
Quis autem novit, an ſapiens fortè hic erit, an ſtultus:
Nihilominus (ille) ſubſtantiæ dominus erit noſtræ,
Et facultatum, quas congeſſi labore, prudentiâque mentis,
Oſtendens conſilia ſolertia ſub cœlo & ſole:
Sic utique incaſſum laboravi, & ſuſtinui, quæcunque perpeſſus ſum
Indefeſſo corde: Vanitas hoc eſt miſerabilis.
Ideò deſperantem animum in pectore poſui,
Cor autem meum non amplius ſperabat ex ærumnoſo labore
Vel tantillùm quidem emolumenti capere, ſub ſole quem toleravi.
Eſt qui laborat-circa ſapientiam amabilem,
Scientiámque & juſtitiam, hæc enim animo ejus conveniunt:
Homini tamen poſteà, cui haudquaquam talia curæ ſunt,

Καλλείψει ἑὰ ἔργα, καὶ ἄφρονι κλῆρον ὀπάσσει·
Τοῦτο μὲν οὖν ματίη τε καὶ οὐλόμενον κακόν ἐστιν.
22 Ἀλλὰ τί γὰρ περίεστι βροτῷ; τί δέ οἱ μέγ' ὄνειαρ
Ἔκ τε πόνου παντὸς, καὶ ὀϊζύος ἣν ἐμόγησε
Δύσμορος ὃν κατὰ θυμὸν ὑπ' αὐγὰς ἠελίοιο;
23 Καὶ γάρ τ' ἤματα πάντα κακῇς ὀδύνῃσιν ὁμιλεῖ,
Ἕως ζωοῖσι μέτεστι· πόνον δ' ὀχέων καὶ ὀϊζὺν,
Μυρία κήδεα πάσχει ἐπὶ ζείδωρον ἄρουραν
Νωλεμέως, καμάτῳ τε δύῃ τ' ἀρημένος αἰνῇ·
Ἀλλὰ καὶ ἐν λέκτρῳ κεῖται κρατέρ' ἄλγεα πάσχων,
Οὐδέ οἱ ἔστ' ἀνὰ νύκτας ἀνάπνευσις κακότητος
Πένθεσι τειρομένῳ, οὐδ' οἱ τότε κεν φίλον ἦτορ
Λωφήσειε κακῶν· ματίη τόδε τ' ἔστ' ἐλεεινή.
24 Οὔ τι ἐστὶ βροτῷ τοῦ γε κρεῖσσον καὶ ἄρειον,
Ἢ ὅταν εὐφροσύνης ἐπιβαίνῃ ὃν κατὰ θυμὸν,
Ἔσθων καὶ πίνων, ἔργοισί τε οἷσιν ἰανθεὶς
Τέρπηται, καμάτου ἀπονήμενος, ὅν περ ἀνέτλη·
Τοῦτό τι μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι,
Εὖ δέ τε οἶδα ὃ καὶ δῶρον τοῦτ' ἔστι Θεοῖο.
25 Τίς γὰρ ἐμεῦ περὶ οἶδεν ὀνείατα πολλὰ καὶ ἐσθλά;
Τίς νύ κεν εἴδατα θᾶσσον ἔχοι, ὅτε θυμὸς ἀνώγῃ
Καὶ γαστήρ; τίνι μᾶλλον ἐπὶ χθονὶ σῖτος ἑτοῖμος;
26 Ὃς γάρ τ' ἐσθλὸς ἔοι Θεοῦ ἄντα, καὶ αἴσιμα εἰδὼς,
Τῷ γε Θεὸς πινυτὴν, ἰδρείην τ', εὐφροσύνην τε
Ὤπασεν· ὃς δέ τ' ἀλιτρὸς ἔοι, καὶ αἴσυλα ῥέζοι,
Τούτῳ ἄλγεα πολλὰ, πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν
Δῶχ', ἵνα νήσας καὶ ἀγείρας ἄσπετον ὄλβον,
Ἀνδρὶ λίπῃ, ὅ κεν ἐσθλὸς ἐναντίον ᾖσι Θεοῖο.
Καὶ τόδε μὲν κενότης, τόσα μὰψ ἄλλοισιν ἀγείρειν,
Καὶ κακότης, τείρουσά τ' ἀνιάζουσά τε θυμόν.

Relinquet ſua opera, & ſtulto hæreditatem præbebit:
Hoc igitur profectò vanitas, & pernicioſum malum eſt.
Sed quid enim ſupereſt homini? quodnam verò ei magnum emolumentum
Ex labore univerſo, & ærumna quam tolerat
Miſer ſuo in animo ſub ſplendore ſolis?
Etenim dies omnes cum malis doloribus verſatur,
Dum vivis intereſt; laborem verò ſuſtinens & ærumnam,
Innumerabiles curas concoquit ſuper alma terra
Indeſinenter, labore & miſeriâ afflictus gravi:
Quin & in lecto jacet validos dolores patiens,
Neque ei eſt noctu reſpiratio ab ærumna
Mœroribus cruciato, nec ei vel tum quidem charum cor
Requieverit à malis. Vanitas hoc etiam eſt miſeranda.
Nihil quicquam eſt homini hoc melius & præſtantius,
Quàm cùm lætitiæ indulgeat ſuo in animo,
Edens & bibens, operibúſque ſuis delectatus
Gaudeat, labore fruens, quem ſuſtinuit.
Hoc mihi pulcherrimum quid in mente videtur eſſe,
Bene autem novi quòd & donum hoc eſt Dei.
Quis enim plusquam ego novit edulia multa & bona?
Quis cibos citiùs habere-queat, cùm animus ſuadet
Et venter? cui magìs in terra victus (eſt) paratus?
Qui enim bonus fuerit coram Deo, & honeſta ſciens,
Illi Deus ſapientiam, ſcientiámque & lætitiam
Præbet: qui autem improbus fuerit, & nefaria patraverit,
Huic dolores multos, laborémque habere & miſeriam
Dat, ut poſtquam accumulaverit, & congeſſerit immenſas opes,
Viro (eas) relinquat, qui bonus fuerit coram Deo.
Et hoc quidem vanitas (eſt), tantas res fruſtrà aliis colligere,
Et ærumna, vexans affligénſque animum.

ΚΕΦ. γ΄.

1 Καιρὸς ἁπάντων ἐστὶν, ἐπὶ χθονὶ ὅσσα γίνονται,
Ὥρη τ᾽ ἔργου παντὸς ὑπ᾽ αὐγὰς ἠελίοιο.
2 Ὥρη μὲν γενετῆς, ὥρη δέ τε καὶ θανάτοιο·
Ὥρη κοσμῆσαι πρασιὰς, φυτά τ᾽ ἀμφιλαχῆναι,
Ὥρη τ᾽ ἐκριζῶσαι, ὅ τις τὸ πρὶν ἐφύτευσεν.
3 Ὥρη ἀποκτεῖναι, ὥρη δέ τε ἰήσασθαι·
Ὥρη ἀμαλδῦναι, ὥρη δέ τε οἰκοδομῆσαι.
4 Ὥρη τε κλαυθμοῖο, καὶ ὥρη ἐστὶ γέλωτος·
Ὥρη πενθῆσαι, ὥρη δέ τε ὀρχήσασθαι.
5 Ὥρη ἀπορρῖψαι τε λίθους, ὥρη δέ τ᾽ ἀγεῖραι·
Ὥρη ἀγκὰς ἑλεῖν, ὥρη δέ τε νοσφίζεσθαι.
6 Ὥρη τε κτήσασθαι, καὶ ὥρη ἐστὶν ὀλέσσαι·
Ὥρη ἀστεμφέως κατέχειν, ὥρη τε προέσθαι.
7 Ὥρη διαῤῥηξέμεναι, ὥρη συῤῥαπτέμεναί τε·
Ὥρη μὲν τέλεται σιγῆς, ὥρη δέ τε μύθων.
8 Ὥρη καὶ φιλότητος, ἰδ᾽ ὥρη ἔχθεος αἰνοῦ·
Ὥρη καὶ πολέμοιο, καὶ εἰρήνης ἐρατεινῆς.
9 Καὶ τί γὰρ αἰνέει ἦδος ὀϊζυροῖο πόνοιο;
Ἢ τί μιν ἔργον ὀφέλλει, ὅπερ κάμεν ἠδ᾽ ἐμόγησεν;
10 Εἶδον ἐγὼ κάματον, Θεὸς ὃν δειλοῖσι βροτοῖσι
Θῆκεν, ὀϊζυέμεν, καὶ πασχέμεν ἄλγεα πολλά.
11 Πάνθ᾽, ὅσα ἐστὶν, ἔταξεν, ἵν᾽ ὥρῃ καλὰ γένηται·
Ἀνδράσι δ᾽, ὡς φράζοιατ᾽, ἐνὶ φρεσὶ θῆκεν ἃ ἔργα,
Ἐν μὲν γαῖαν ἔθηκ᾽, ἐν δ᾽ οὐρανὸν, ἐν δὲ θάλασσαν·
Ἀλλ᾽ οὔτις δύναται σάφα εὑρεῖν, οὐδὲ νοῆσαι
Ἔργον ὅπερ Θεὸς ἔρδει ἀπ᾽ ἀρχῆς ἄχρι τέλοσδε.
12 Γινώσκω δ᾽ ὅτι τοῖσιν ἐν οὔτι κρήγυόν ἐστιν,
Εἰ μὴ ἵν᾽ αἰνέει θυμὸς ἐϋφροσύνῃσιν ἰανθῇ,
Ἕως πού ἔτι ζώει, εὐεργεσίη τε μεμήλῃ.
13 Ὀφρά θ᾽ ἕκαστος ἀνὴρ, ὅσσοι χθόνα ναιετάουσιν,

CAP. III.

OPportunitas rerum omnium eſt, in terra quæ geruntur,
Tempúsque negotio unicuique ſub ſplendore ſolis.

Tempus nativitatis, tempúsque mortis:
Tempus excolendi areolas, plantáſque circumſodiendi,
Tempúſque eradicandi (id) quod quis priùs plantavit.
Tempus occidendi, tempúſque medendi :
Tempus ſubruendi, tempúsque ædificandi.
Tempúsque fletûs, & tempus eſt riſûs:
Tempus lugendi, tempúſque ſaltandi.
Tempus disjiciendi lapides, tempúsque colligendi:
Tempus amplexandi, tempúsque averſandi.
Tempus acquirendi, & tempus eſt perdendi :
Tempus firmiter retinendi, tempúsque projiciendi.
Tempus ſcindendi, tempúsque conſuendi:
Tempus eſt ſilentii, tempúsque ſermonum.
Tempus etiam amoris, & tempus odii gravis:
Tempúsque belli, & (tempus) pacis amabilis.
Quodnam enim homini emolumentum ex ærumnoſo labore?
Aut quid ei opus prodeſt, in quo laborat, & ſudat?
Vidi ego laborem, Deus quem miſeris mortalibus
Impoſuit, in-ærumna eſſe, & pati dolores multos.
Omnia, quæcunque ſunt, fecit, ut in-tempore-pulchra ſint,
Hominibus autem, ut conſiderent, in mente poſuit ſua opera,
Et terram poſuit, & cœlum, & mare :
Atqui nemo poteſt clarè invenire, neque intelligere
Opus quod Deus facit à principio penitùs ad finem.
Scio autem, quòd illis nil boni ineſt,
Niſi ut homini animus lætitiâ exhilaretur,
Dum adhuc vivit, beneficentiáque curæ-ſit.
Et ut unusquiſque vir, quotquot terram inhabitant,

Ἔσθοι καὶ πίνοι, καμάτου τ' ἀπὸ παντὸς ὄναιτο,
Ὅνπερ ὀϊζύουσιν· δῶρον τοῦτ' ἐστι Θεοῖο.
14 Οἶδ' ὅτι ἔργα Θεοῖο ἔσονται νωλεμὲς αἰεὶ,
Πάντα μάλ', ὅσα ἔοργε διαμπερές· οὐδ' ἄρα τοῖσιν
Οὔτέ τι προσθεῖναι δύναται βροτὸς, οὔτ' ἀφελέσθαι·
Τοὔνεκα δ' αὐτὸς ἔοργ', ἵνα μιν θ' ἅζοιατο φῶτες,
Αἰδόμενοι ἔθεν ἄντα, ἑήν τ' ὄπιδα τρομέοντες.
15 Ὅ, ττι περ ἦν, νῦν ἐστι, τό, τ' ἐσσόμενον πρὶν ἐτύχθη,
Καὶ ὃ παρῴχηκε, προτέρης πέλε τ' ἐν γενεῇσι,
Τοῦτο Θεὸς ζητεῖ, ἵνα τ' ἂψ ἄνδρεσσι τιθείη.
16 Εἶδον δὴ καὶ ἔπειτα ὑπ' ἠέλιον φαέθοντα
Εὐνομίης ἕδος, ἧχι δικασπόλοι ἄνδρες ἔασι,
Κεῖθι δ' ἀλιτροσύνη, καὶ σχέτλια ἔργα τέτυκτο,
Χῶρόν τ' εὐδικίης, θέμιν ἔμμεναι ἧπερ ἔοικεν,
Ἔνθα δ' ἔην ὕβρις, καὶ ἀτασθαλίη ἀλεγεινή.
17 Εἶπον ἐνὶ κραδίῃ, Θεὸς ἰθείῃσι δίκῃσι
Ἀμφοτέρους κρινέει, ὅς τ' αἴσιμος ὅς τ' ἀλιτήμων·
Ἔσται γάρ ποτε ἦμαρ, ὅτ' ἀμφαδὰ ῥεῖα γένηται
Δήνεα πάντα βροτῶν, ὅ,τι ἔπλετο, ἔργα τε πάντα.
18 Εἶπον ἐνὶ κραδίῃ μερμηρίζων ἀμφὶ γενέθλῃ,
Οἷοί τε βροτοί εἰσι, καὶ ἥντινα μοῖραν ἔχουσιν·
Ὅττι Θεὸς σάφα δεῖξε, καὶ ἀμφαδὰ πᾶσιν ἔθηκεν
Ἀνθρώπων γένος οἷον, ἵνα γνώωσι καὶ αὐτοὶ
Οὕνεκα θηρία τ' εἰσὶν, ὁμῆς δέ τε ἔλλαχον αἴσης.
19 Οἵπερ θηρῶν γενεὴ, τοιήδε καὶ ἀνδρῶν,
Ἶσα γὰρ ἀλλήλοισι λελόγχασιν ἀμμορίην τε,
Μοῖράν τ' ἀμφότεροι, καὶ ὁμὴν βιότοιο τελευτήν·
Κάτθανον ἄμφω ὁμῶς, ἴα δ' ἐν στήθεσσιν ἀϋτμὴ
Πᾶσιν ἐνέστακται, ἀπὸ δ' ἔπτατο πᾶσιν ὁμοίως.
Οὐκ ἄρα τι ζώου ἑτέρου περιγίνεται ἀνὴρ,
Οὐδέ τι οἱ πλέον ὅττι σκιᾶς ὄναρ εἰσὶν ἅπαντα.
20 Πάντα μάλ', ὅσα γίνονται ὑπ' οὐρανὸν ἀστερόεντα,

Edat & bibat, laboréque omni fruatur,
Quem ærumnosè-tulit: donum hoc eſt Dei.
Scio quòd opera Dei erunt in perpetuum ſemper,
Omnia omnino, quæcunque fecit penitùs: nec iis
Vel addere quicquam poteſt homo, vel detrahere:
Idcircò autem ipſe fecit, ut eum venerarentur homines,
Reverentes coram eo, ejúſque vindictam timentes.
Quicquid (anteà) fuit, nunc eſt, & quod futurum eſt, prius fuit,
Et quod præteriit, prioribúsque fuit in ſeculis,
Hoc Deus requirit, ut & iterum hominibus reponat.
Vidi tum etiam deinde ſub ſole ſplendente
Æquitatis ſedem, ubi judices viri ſunt,
Ibi autem nequitia, & ſceleſta opera perpetrata-erant,
Locúmque juſtitiæ, jus ubi eſſe oportuit,
Ibi autem erat injuria, & improbitas gravis.
Dixi in corde, Deus æquo jure
Utroſque judicabit, quique juſtus (eſt) quique improbus:
Erit enim aliquando dies, cùm palàm facilè fient
Conſilia omnia mortalium, qualia fuerint, operáque omnia.
Dixi in corde genere de humano,
Quales homines ſint, & qualem ſortem habeant:
Quoniam Deus clarè oſtendit, & palàm omnibus fecit
Hominum genus quale (ſit,) ut ſciant etiam ipſi
Quòd etiam beſtiæ ſunt, parémq;(cum iis)obtinuerunt conditionem.
Quale beſtiarum genus, tale & hominum,
Æquale enim ſibi-invicem ſortiti ſunt infortuniúmque,
Fatúmque ambo, eundem vitæ terminum:
Moriuntur ambo ſimiliter, unus-idémque in pectore halitus
Omnibus inſpiratur, avolat autem omnibus ſimiliter.
Haud igitur quicquam animali alteri antecellit homo,
Nec ulla ei prærogativa: quia umbræ ſomnium ſunt univerſa.
Omnia prorſus (animalia,) ſunt ſub cœlo ſtellato,

Εἰς ἕνα χῶρον ἴασι, πρὸ μὲν τ' ἄλλ', αὐτὰρ ἔπ' ἄλλο,
Πανδόκον ἐς λιμένα ξυνὴν πρήσσοντα κέλευθον·
Ἐκ κόνιος πάντ' εἰσὶ, καὶ ἐς κόνιν αὖτε νέονται.
21 Τίς σάφα γινώσκει ψυχὴν μερόπων ἀνθρώπων,
Ἥ τ' ἐπεὶ οὖν σάρκας τε καὶ ὀστέα κάλλιπ' ἔνερθεν,
Ὑψόσ' ἀειρομένη πέτεται, τάχα δ' αἰθέρ' ἱκάνει;
Ἢ καὶ τίς ψυχὴν τοῦ κτήνεος οἶδ' ἐνὶ θυμῷ,
Ἥ τέ που ἐκ ῥεθέων πταμένη πέσε, βῆ δὲ χαμᾶζε;
22 Οἶδ' οὖν, ὡς τοῦ γε κρεῖσσον, καὶ κάλλιον οὐδὲν,
Ἢ ὅταν ἀνέρι θυμὸς ἐϋφροσύνῃσιν ἰανθῇ,
Χαίρων οἷς ἔργοις· τὸ γάρ οἱ γέρας, οἷς ἔοργε·
Τίς γὰρ ἂν οἱ δείξειεν, ἵν' ὀφθαλμοῖσιν ἴδηται,
Ἐσσόμενον μετόπισθεν, ὅτ' αὐτὸν γαῖα καθέξει;

ΚΕΦ. δ'.

1 Εἶδον δ' αὖ κακὰ πάντα, καὶ ἐν φρεσὶν εὖ ἐνόησα,
Ὅσσα βίῃ γίνονται ὑπ' αὐγὰς ἠελίοιο,
Παντοίην ὕβριν τε καὶ αἴσυλα ἔργ' ἀνθρώπων,
Οἵ τ' ἄλλους τρύχουσιν ἀπηνέα θυμὸν ἔχοντες·
Ἔνθα βιαζομένων στοναχὴ ἀλίαστος ὀρώρει,
Δάκρυά τ' οἰμωγή τε, καὶ οὐκ ἐπιτάρροθος ἦεν,
Οὐδέ τι θαλπωρή· τῶν μὲν σθένος οὐκ ἀλαπαδνόν,
Οἵ σφεας σινέσκοντο, βίηφί τε φέρτεροι ἦσαν,
Αὐτοῖσιν δὲ παρ' οὔτις, ὑπέρβιον ὕβριν ἀμύνειν.
2 Τοὔνεκ' ἐγὼ νεκύων ἤδη κατατεθνειώτων
Κρείσσονα μοῖραν ἔφην ἔμμεν, ἢ ζωοῖσι μιγέντων,
Οἳ γὰρ ἔτι ζώουσιν ἐπὶ χθονὶ πουλυβοτείρῃ.
3 Ἀμφοτέρων δ' ἄρα τῶν γε μακάρτερός ἐστιν ἐκεῖνος.
Κρείσσων τ' οὐκ ὀλίγον γὰρ, ὃν οὔπω ἐγείνατο μήτηρ,
Οὐδέ πω ἔργον ἀεικὲς ἐν ὀφθαλμοῖσιν ὄπωπεν,
Ὃ βροτοὶ ἄνδρες ἔρεξαν ὑπ' οὐρανὸν ἠέλιόν τε.
4 Ἂψ δὲ πόνον μάλα πάντα, καὶ αἴσιμα ἔργ' ἀνθρώπων
Ἐφρ

Ad unum locum vadunt, aliud quidem antè, aliud autem pòſt,
Capaciſſimum ad portum commune conficientia iter,
Ex pulvere omnia ſunt, & in pulverem iterùm revertuntur.

Quis clarè cognoſcit animam variis-linguis-loquentium hominum
Quæ poſtquam carnes & oſſa reliquit infrà,
Surſum elata volat, mox autem ad ætherem pervenit?
Aut etiam quis animam jumenti ſcit in animo,
Quæ è membris avolans cadit, deſcendit autem in terram?

Novi ergo, quòd hoc melius & ſatius (eſt) nihil,
Quàm cùm homini animus lætitiâ exhilaretur,
Gaudens ſuis operibus: id enim illi præmium, eò quòd ſic fecit:
Quis enim ei oſtendet, ut oculis videat,
Quod futurum eſt in-poſterum, cùm ipſum terra premet.

CAP. IV.

Vidi autem rursùs mala omnia, & in mente benè perpendi
Quæcunque per-vim fiunt ſub ſplendore ſolis,
Omnimodámque injuriam, & impia opera hominum,
Qui alios opprimunt crudelem animum habentes:
Ibi afflictorum gemitus vehemens oriebatur,
Lachrymæque ſingultúſque, & non erat adjutor,
Neque ſolatium: illorum quidem robur non (erat) infirmum,
Qui eos infeſtabant, víque præſtantiores erant,
Illis autem aderat nemo, inſolentem injuriam propulſare.

Itaque ego mortuorum qui jam mortui ſunt
eliorem ſortem dixi eſſe, quàm inter vivos verſantium,
ui adhuc vivunt in terra multorum-altrice.

Ambobus autem his felicior eſt ille,
æſtantiórque non parùm, quem nondum genuit mater,
ecdum opus malum oculis aſpexit,
od mortales homines faciunt ſub cœlo, & ſole.

Rursùs autem laborem valdè omnem & recta opera hominum

Ἐφρασάμην ἐνὶ θυμῷ, ὅττι φθόνος ἄνδρα κιχάνει
Ἐκ τούτων συνεργός· ζηλοῖ δέ τε γείτονα γείτων:
Καὶ τόδε μὲν ματίη, καὶ ἀνίη θυμὸν ἔδουσα.
5 Νήπιος ἃς χεῖρας μετά τ' ἀλλήλῃσιν ἔπλεξεν,
Οὐδέ τι τῇσιν ἔρεξεν, ᾧ οἱ βίοτόν γ' ἅλις ἄλφοι·
Τῷ κ' αὐτὸς βεβρώθοι ἑὴν χρόα, γαστρὶ πιθήσας
Οὐλομένῃ· λιμὸς γὰρ ἀεργίῃσιν ὀπηδεῖ.
6 Βέλτερόν ἐστ' ὀλίγον περ, ὅσον τις ἐδράξατο χειρί,
Εἴ γε μετ' εἰρήνης τε καὶ ἡσυχίης ἐρατεινῆς·
Ἢ πολὺ πλεῖον, ὅσον τε τις ἀμφοτέρῃσι κεχάνδει,
Εἴ γε μετ' οἴτου ἔῃ, καὶ ἀνίης θυμοβόροιο.
7 Καὶ ματίην πάλιν εἶδον ὑπ' ἠέλιον φαέθοντα.
8 Ἀνὴρ εἷς πέλε μοῦνος, ἰδ' οὐ οἱ δεύτερός ἐστιν,
Οὐ παῖς, οὔτ' ἄρ ἀδελφὸς, ὃς αὐτοῦ κλῆρον ἔχῃσιν·
Ἀλλ' οὐ οἱ μεταπαυσωλὴ καμάτοιο τέτυκται,
Οὐδ' ἄρα οἱ τέλος ἐστὶ πόνου καὶ ὀϊζύος αἰνῆς
Πάσης, ἣν ἐμόγησε καὶ ἔτλη νωλεμὲς αἰεί·
Οὐδέ ποτ' οὐδ' ἅλις οἱ, πλούτου δ' ἀκόρητον ἐέλδωρ
Ὀφθαλμοὺς μιν ἔχει, οὐδ' ὃν πρὸς θυμὸν ἔειπε,
Τεῦ ἕνεκ' ἀργαλέον πόνον ἔτλην; τίπτε δέ με χρεώ;
Τεῦ ἕνεκ' ἀσχαλόω, καὶ ἀμέρδω θυμὸν ἑάων;
Ἠὲ τί μοι μέγ' ὄνειαρ, ἐπεὶ κακὰ τόσσα πέπονθα;
Καὶ τόδε μὲν ματίη, καὶ ἄλη, καὶ πῆμα, καὶ ἄλγος.
9 Οὐκ ἀγαθὸν μουνοῦσθαι ἐπιχθόνιον βροτὸν ἄνδρα,
Ἀλλ' ἅμ' ἕποιτο καὶ ἄλλος, ἐπεὶ πολὺ λώϊον οὕτως,
Ἄμφω γάρ κε πόνου μενοεικέα μισθὸν ἄροιντο,
Σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόησεν
Ὅππως κέρδος ἔῃ· μοῦνος δ' εἴπερ τε νοήσῃ,
Ἀλλά τε οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις.
10 Τοὔνεκά τ' ὄφρα βάτην ὁδὸν ἀνέρε, σὺν δύ' ἐόντε,
Μᾶλλον θαλπωρὴ, καὶ θαρσαλεώτερον ἔσται·
Εἰ γάρ που πεσέτην, ἄλλος τάχα ἄλλον ἐγείρῃ·

Δύστη

Conſideravi in animo, quòd invidia hominem aſſequitur
Ex his infeſta: æmulatur autem vicinum vicinus.
Et hoc quidem vanitas, & mœror animum vexans.

Stultus ſuas manus invicem complicat,
Nec quicquam iis operatur, quo ſibi victum ſufficientem inveniat:
Quare ipſe comedet ſuam carnem, ventri obſequens
Exitiali: fames enim ignaviam comitatur.

Meliùs eſt vel tantillum, quantum quis comprehendit manu,
Modò cum pace, & quiete amabili;
Quàm multò plus, quantumq; quis ambabus(manibus) complectitur
Modò cum ærumna ſit, & mœrore animum-vorante.

Et vanitatem iterum vidi ſub ſole ſplendente.

Vir unus eſt ſolus, nec ei ſecundus eſt,
Non filius, neque frater qui ejus hæreditatem habeat:
Sed (tamen) non ei intermiſſio laboris eſt,
Neque ei finis eſt operæ, & ærumnæ gravis
Omnis, quam ſuſtinet, & tolerat perpetuò ſemper:
Neq; unquam ſatis(eſt)ei, divitiarum autem inexplebile deſiderium
Oculos ejus tenet, neque ſuo animo dicit,
Cujus gratiâ gravem laborem ſuſtineo? quid mihi opus eſt?
Cujus gratiâ conturbor, & privo animum bonis?
Aut quoduam mihi magnũ emolumentũ poſtquã mala tot pertuli?
Et hoc quidem vanitas (eſt) & anxietas, & damnum, & dolor.

Non bonum(eſt) ſolitarium eſſe terreſtrem mortalem hominem,
Sed ſimul comitetur alius, quoniam multò melius ita (eſt,)
Ambo enim laboris gratam mercedem accipient,
Duobus enim ſimul euntibus alter ante alterum obſervat
Quomodo utile ſit: ſolus autem etiamſi ſentiat,
Tamen ei tardior (eſt) animus, tenuéque conſilium.

Igitur dum in via incedunt homines duo ſimul exiſtentes,
Magis erit ſolatium, & confidentiùs (ſe gerent:)
Si enim fortè ceciderint, alter citò alterum eriget:

Δύστηνος δέ τε κεῖνος, ὃς οἶος ἐὼν ἐρείπησιν,
Οὐδὲ γάρ οἱ πάρ' ἑταῖρος ἀνὴρ, ὅς κέ μιν ἐγείρῃ.
11 Εἴ τε δύ' ἐν λέκτρῳ κέαται ἅμα, θαλπιόωσιν
Ἀλλήλους· ὁ δέ που καταλέγμενος οἶος ἀπ' ἄλλων
Πῶς χέρα κεν θερέῃ; πόθεν οἱ ἀλέη τε γένηται;
12 Εἴ γέ τις ἠνορέῃ πίσυνος, καὶ κάρτεϊ χειρῶν
Μουνὰξ ἄνδρα δάμασσε, δύω δ' ἔθεν ἄξιοι εἶεν·
Συμφερτὴ τ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν·
Σπάρτον τε τρίπλοον οὐκ ἄν ποτε ῥεῖα ῥαγῆσι.
13 Κρείσσων μὲν παῖς ἐστὶ πένης πεπνυμένα εἰδὼς
Σκηπτούχου βασιλῆος, ὃς οὐ φρεσὶν ἄρτια ἤδη
Πρεσβυγενής περ ἐὼν, οὔτ' ἄλλων μῦθον ἄκουσεν,
Οὔθ' ὑποθημοσύνην, βουλῇ δ' οὐκ οἶδε πιθέσθαι.
14 Ὃς γὰρ ἀφ' εἱρκτῆφι θρόνον ἐς βασιλήϊον ἦλθεν·
Ὃς δὲ καὶ ἧς γαίης βασιλεὺς γέγον' ἐξέτι πατρῶν,
Τοῖον ἐόντα δ' ὅμως ἀχρημοσύνη μιν ἱκάνει.
15 Εἶδον δῆμον ἅπαντα, ὅσοι βροτοί εἰσ' ἐπὶ γαίῃ,
Πωλεῦνταί τε ζωοὶ ὑπ' αὐγὰς ἠελίοιο,
Τοὺς ἐγὼ εὖ ἐνόησ', ὅτ' ἄνακτος παῖδα σέβονται,
Δεύτερος οὕνεκα μέλλει ἔχειν πατρώϊον ἀρχὴν,
Τῷ ἐφομαρτεῦσίν τε, καί οἱ ἐπίηρα φέρουσιν.
16 Ἀλλὰ τόδ' ἄπρηκτον κακὸν ἐν λαοῖσιν ἐτύχθη
Πᾶσι μάλ'· οὐδὲ τέλος τι πέφανται· ὡς γὰρ ἔρεξαν
Καὶ προτέρῃς γενεῇσι, καὶ οἱ μετόπισθεν ἔσονται
Οὔ οἱ χαιρήσουσ'· ἡ γὰρ δίκη ἐστ' ἀνθρώπων·
Ἀρχὸς ἐὼν βαρύς ἐστι, νέων δέ τε ἵμερος αἱρεῖ.
Τοῦτο μὲν οὖν ματίη τε κακὴ, θυμοῖό τ' ἀνίη.

Infelix autem ille qui ſolus exiſtens cadat,
Neque enim ei adeſt ſodalis, qui eum erigat.
Et ſi duo in lecto ſimul cubant, fovent
Se·mutuo: qui autem alicubi cubat ſeorſim ab aliis
Quomodo corpore calefiet? & unde ei tepor erit?
Si quis etiam fortitudine fretus & robore manuum
In·ſingulari·certamine hominem ſuperat, duo verò ei pares erunt.
Collatæque vires virorum etiam valdè imbellium (proſunt:)
Funíſque triplex haudquaquam facilè rumpitur.
Melior puer eſt pauper prudentia ſciens
Sceptrigero rege, qui non in animo ſana novit
Grandis-natu licet exiſtens, neque aliorum ſermonem audit,
Neque admonitionem, conſilio autem neſcit obtemperare.
Alter enim à carcere ſolium ad regium venit:
Alter autem ſuæ terræ rex eſt inde à patribus,
Talis tamen etſi fuerit, indigentia ad eum pervenit.
Vidi populum univerſum, quotquot mortales ſunt in terra,
Verſantúrque vivi ſub ſplendore ſolis,
Hos ego bene obſervavi, quòd regis filium colunt,
Secundus quoniam habebit paternum imperium,
Igitur (eum) ſequuntur, & ei gratificantur.
Sed hoc inutile malum inter populos eſt
Omnes valdè: neque finis aliquis apparet: ſic enim fecerunt
Et in prioribus ſæculis, & qui in poſterum erunt
Non eo gaudebunt: hic enim mos eſt hominum:
Princeps qui-eſt gravis eſt, novorum autem deſiderium (eos) tenet.
Hoc igitur vanitáſque mala, animíque mœror.

ΚΕΦ. ε'.

1 Τὸν πόδα σεῖο φύλαττε, Θεοῦ ὅταν οἶκον ἐσέλθῃς·
Ἔσσο δὲ μᾶλλον ἑτοῖμος ἀκουέμεν, ἤπερ ἐνεῖκαι
Ἱερὰ Θεῷ, καὶ δῶρα, χαλίφρονες οἷα διδοῦσιν·
Οὐδὲ γὰρ οἱ ἐνόησαν ὃ οὐ κατὰ μοῖραν ἔρεξαν.
2 Μηδέ τι τοι νηκερδὲς ἔπος φύγοι ἕρκος ὀδόντων,
Μηδέ σε θυμὸς ἀνώγοι ἐπιτροχάδην ἀγορεύειν,
Σοὶ δ' αἰνῶς μελέτω, ὅ, τι κεν Θεοῦ ἀντίον εἴπῃς·
Καὶ γὰρ ἐν οὐρανῷ ἐστι Θεὸς, σὺ δ' ἔνερθ' ἐπὶ γαίῃ,
Τοὔνεκα παῦρ' ἔπεα γλώσσης ἄπο σεῖο ῥεόντων,
Ὡς μὴ λαβραγόρης ἔσσεαι, ἐπεὶ οὐδέ τι σε χρή.
3 Ἦ μάλα γὰρ πολλῶν ἐξ ἔργων γίγνετ' ὄνειρος·
Πολλῶν τ' ἐξ ἐπέων γιγνώσκεται ἄφρονος αὐδή.
4 Ὄφρα τιν' εὐχωλὴν Θεῷ εὔχεαι, αἶψα τελέσσαις,
Μηδέ τις ἀμβολίη· ὃ γὰρ οὐ φιλεῖ ἀφραδέοντας·
Τῷ σὺ μάλ' εὐχωλὴν ἀποτίσαις, ἥνπερ ὑπέστης.
5 Κρεῖσσον ἵν' οὐδ' εὔχηαι, ὑπόσχηαί τε διδώσειν,
Ἤπερ ἵν' εὔχηαί τε, καὶ εὐχὴν οὐκ ἀποτίσῃς.
6 Τῷ μὴ ἁμαρτοεπές τοι ἔοι στόμα, μηδ' ἀσύφηλον,
Μήτ' ἐν ἀφραδίῃσιν ἔπος προφέρες, ᾧ κεν ἀασθῇς,
Μάψ, καὶ ἀλιβδὸς ἔῃς, μήτ' ἀγγέλου ἀντίον εἰπὲ,
Ἤμβροτον, ἀασάμην, φρεσὶ λευγαλέῃσι πιθήσας,
Εὐχόμενος δ' ἔπος εἶπον, ὅπερ τ' ἄῤῥητον ἄμεινον·
Τίπτε Θεὸς μύθων κεχολωμένος, οἷς ἔφησθα,
Πρόχνυ κακῶς ὀλέσειε τεῶν ἔργον παλαμάων;
7 Πολλοῖσιν γὰρ ὀνείρεσιν ματίη ἔνι πολλὴ,
Καὶ πολλοῖσιν ἔπεσσι· σὺ δ' ἀθάνατον Θεὸν ἅζευ.
8 Εἴποτε λοίγια ἔργα, βιαζομένους τε πενιχροὺς,
Ὕβριν τ' εἰσορᾴας ἀνδρῶν ὑπερηνορεόντων
Ἀμπόλιν, οἵ τε βίῃ σκολιὰς κρείνουσι θέμιστας,
Μὴ σὺ λίην θαύμαζε μετὰ φρεσὶν, οἷον ἐτύχθη·

CAP. V.

PEdem tuum cuſtodi, Dei cùm domum ingrederis:
Eſto autem magis paratus audire, quàm offerre
Sacrificia Deo, & dona, ſtulti qualia dant:
Neque enim illi animadvertunt quòd non rectè faciunt.

Neq; aliquod tibi incommodum verbum fugiat ſeptum dentium,
Neque te animus jubeat præcipitantèr loqui,
Tibi autem valdè curæ-ſit quid coràm Deo dixeris:
Etenim in cœlo eſt Deus, tu autem infrà in terra,
Igitur pauca verba lingua à tua fluant,
Ut nè multi-loquus ſis, quandoquidem nec te decet.

Certè enim ex multis negotiis naſcitur ſomnium:
Multíſque ex verbis noſcitur ſtulti vox.

Quando aliquod votum Deo nuncupas, ſtatim perficias,
Neque ulla (ſit) dilatio: is enim non amat inſipientes:
Quapropter tu votum ſolvas quod promiſiſti.

Melius (eſt) ut neque voveas, promittáſque te daturum,
Quàm ut voveas, & votum non perſolvas.

Quamobrem nè futile tibi ſit os, neque inſipidum,
Nec præ-incogitantiâ verbum projice, quo lædi-queas,
Incaſſum, & peccator ſis, nec coram Angelo dicas,
Erravi, peccavi, menti maleſanæ obtemperans,
Vovens autem verbum dixi, quod non-dictum (fuiſſet) melius:
Cur Deus ob ſermones iratus, quòd-ſic locutus-feceris,
Funditùs malè perderet tuarum opus manuum?

Multis enim ſomniis vanitas ineſt multa,
Et multis verbis: tu autem immortalem Deum verere.

Siquando funeſta opera, oppreſſóſque pauperes,
Injuriámque aſpicis hominum inſolentium
Per-civitatem, quique per-vim iniquo-jure judicant cauſas,
Nè tu valdè mirare in animo quale factum-eſt:

Καὶ γὰρ ὅγ' εὖ ἐνόησ', ὑπάτων ὃς ὑπέρτερός ἐστι,
Κρειόντων θ' ὕπατος· καὶ ὑπέρτεροί ἐστιν ἐκείνων.
9 Ξυνὴ γαῖα βροτοῖσι, φύει δέ τε καρπὸν ἅπασιν,
Ἐκ κοινωφελίης· τίς οἱ οὐ θρεπτήρι' ὀφέλλει;
Σῖτον καὶ βασιλῆϊ φέρει ζείδωρος ἄρουρα.
10 Ἄργυρον ὃς φιλέει, οὐ μιν κόρος ἀργύρου ἕξει,
Ὅς τε φιλοκτέανος, κἂν ἄσπετον ὄλβον ἀγείρῃ,
Ἀλλ' οὐδ' ὧς ἅλις οἱ, οὐδ' ἄσεται ὃν κατὰ θυμὸν
Εἰκοσινήριτ' ἔχων· ματίη καὶ τοῦτ' ἀλεγεινή.
11 Ὡς βίοτος πολύς ἐστι, πολεῖς τε μιν εἰσὶν ἔδοντες,
Οἴκῳ ἐνὶ μεγάλῳ πολλοί τ' οἰκῆες ἔασι·
Τῷ καὶ ἀνάκτεσσιν τί χραισμεῖ πλοῦτος ἑοῖσιν,
Εἰ μὴ μοῦνον, ὅτ' αὐτὸν ἐν ὀφθαλμοῖσιν ὁρῶνται;
12 Ὕπνος μὲν γλυκερὸς πέλει ἀνέρος ἐργατίναο
Ἀγρότεω, εἴτ' ὀλίγην βρώμην ἔδοι, εἴθ' ὅγε πολλήν·
Ἀφνειὸς δέ τε κεῖται ἄϋπνος νύκτας ἰαύων,
Πολλὰ γὰρ μερμήριξε, κόρος δ' οὐκ εἴασεν εὕδειν.
13 Ἔστι κακὸν, τόπερ εἶδον ὑπ' αὐγὰς ἠελίοιο,
Δεινὸν, καὶ χαλεπόν· κειμήλια κείμενα πολλὰ,
Ἄλγος τοῖσι φέροντα καὶ ἄτην, οἷσπερ ἔκειντο,
Πλοῦτόν τ', ἀργαλέον πῆμ' ἀνδράσιν, οἵ μιν ἔχεσκον.
14 Ἐφθίαται γὰρ τὰ χρήματ' ἄλῃ καὶ ὀϊζύϊ λυγρῇ·
Ὃς δ' ἄρ' ἔχεν, τέκε παῖδα, καὶ οὔ τι οἱ ἔστ' ἐνὶ χερσὶν,
Αὐτῷ καλλιπέειν· δὴ γὰρ πᾶς οἶκος ὄλωλεν.
15 Ὡς τὰ πρῶτα φόως δ' ἐκ γαστέρος ἦλθε τεκούσης,
Ὣς νεῖται· γυμνὸς μέν τ' ἤλυθεν, εἶσι δὲ γυμνός,
Οὐδέ τι ὧν ἔργων ἀπονήμενος, οὐδὲ πόνοιο,
Οὐδ' ὅσον ἔνθεν ἑλὼν, ὅ, τε χερσὶν ἑῇσιν ἄροιτο.
16 Καὶ τὸ μὲν οὐλόμενον τυκτὸν κακὸν, οὕνεκα πάντως
Ὡς ἦλθ', ὧς καὶ ἄπεισι, καὶ ἔσσεται οἷος ἔην περ·
Καὶ τί νύ οἱ ὄφελος πέλει, ὅς τ' ἀνεμώλια ῥέζων
Μὰψ ἐμόγησε τάλας, μισθὸς δέ οἱ ἔσσετ' ἀήτης;
Ἀλλὰ

Etenim ille bene obſervat, ſupremis qui ſuperior eſt,
Principúmque ſummus: & ſuperior eſt illis.
Communis (eſt) terra mortalibus, gignítq; fructum omnibus,
Ex publica-utilitate: quis ei non nutritia debet ?
Cibum etiam regi fert alma tellus.
Argentum qui amat,non eum ſatietas argenti tenebit,
Quíque lucri-avidus, etiamſi immenſas opes congerat,
At neque ſic ſatìs ei (erit), neque ſaturabitur ſuo iu animo
Vicies-tantundem habens: vanitas & hoc (eſt) moleſta.
Ut primùm ſubſtantia multa eſt, multi etiam ſunt eam edentes,
Domóque in magnâ multi domeſtici ſunt :
Ideóque dominis quid proſunt divitiæ ſuis,
Niſi ſolùm, quòd eas oculis vident ?
Somnus quidem dulcis eſt viri operarii
Ruſtici, ſive exiguum cibum edat, ſive is multum :
Dives autem jacet inſomnes noctes traducens,
Multa autem in-animo-volvit,ſatietas autē non ſinit(eum)dormire.
Eſt malum, quod vidi ſub ſplendore ſolis,
Grave & moleſtum: theſauros (ſcilicet) repoſitos multos,
Dolorem iis ferentes, & perniciem, quibus etiam repoſiti erant,
Opéſque grave damnum hominibus, qui eas poſſidebant.
Pereunt autem illæ divitiæ vexatione, & ærumnâ malâ:
Qui autem eas habebat, generat filium,& nihil ei eſt in manibus,
Illi relinquere: certè enim tota ſubſtantia periit.
Quemadmodum primùm in-lucem ex utero venit matris,
Sic redibit: nudus quidem venit, redibit autem nudus,
Nihil ex ſuis operibus commodi-percipiens, neque labore,
Nec tantillum exinde capiens, quod vel manibus ſuis ferat.
Et hoc quidem pernicioſum naturâ-comparatum malum, quippe quod per-omnia
Sicut venit, ſic & diſcedet, & erit qualis etiam fuit:
Et quæ illi utilitas eſt, qui inania operans
Fruſtrà laboravit miſer, merces autem ei erit ventus ?

17 Ἀλλὰ καὶ ἤματα πάντα, ἕως ζωοῖσι μέτεστιν,
Ἐν ζόφῳ, ἠδ᾽ ὀδύνῃ ζόφου ἠερόεντος ἑταίρῃ
Σῖτον ἔδει, καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἐρέχθων
Νωλεμέως κρατεροῖς· ἅμα δ᾽ οἱ νέμεσίς τε χόλος τε
Νοῦσός τ᾽ ἀργαλέη, καὶ ἐριννύες αἰὲν ἕπονται.
18 Ἠνὶ δὴ νῦν, ὃ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὄπωπα,
Ὡς τόγε μὲν καλόν τε καὶ αἴσιμον ἀνδρὶ τέτυκται
Ἔσθειν καὶ πίνειν, καὶ ἑῶν ἔργων ἀπόνασθαι,
Καὶ πόνου, ὃν τολύπευσεν ὑπ᾽ αὐγὰς ἠελίοιο,
Καὶ βιότου, τὸν ἄγειρε διαμπερὲς ἤματα πάντα,
Ὄφρα φίλην αἰῶνα διδοῖ Θεός· ἡ γάρ οἱ αἶσα.
19 Εἴ τεῳ ὄλβον ἔδωκε Θεὸς, καὶ χρήματα πολλὰ,
Οἷσίν τ᾽ εὖ ζώουσι βροτοὶ, βιότοιό τ᾽ ὄνασθαι
Δῶκεν, εὐφροσύνην τε, καὶ ἔσθειν οἷα πάρεισιν,
Ὡς μὴ ἀτέμβηται μοίρης, χαίρῃσι δὲ θυμῷ,
Οὕνεχ᾽ ἑοῦ καμάτοιο ἔχει μενοεικέα μισθόν·
Χαιρέτω, οὐ οἱ ἀεικὲς, ἐπεὶ Θεός οἱ τόγ᾽ ἔδωκεν·
Οὔτοι ἀπόβλητ᾽ ἐστὶ Θεοῦ ἐρικυδέα δῶρα.
20 Οὐ μάλα γὰρ μεμνήσετ᾽ ὀϊζύος ἣν ἐμόγησεν,
Οὐδὲ βίου χαλεποῦ, ὅσα θ᾽ οἱ πέλεν ἤματα λυγρά·
Οὕνεκα τερπωλὴν δῶκεν Θεὸς, οὐδ᾽ ἀνένευσε
Χάρματα πολλὰ καὶ ἐσθλὰ, τά οἱ κραδίηφιν ἀρήρει.

ΚΕΦ. ς΄.

1 Ἄλλο μὲν οὖν κακόν ἐστιν, ὃ ὀφθαλμοῖσιν ὄπωπα
(Πολλοὶ δ᾽ ἄνδρες ἔχουσιν) ὑπ᾽ ἠέλιον φαέθοντα.
2 Ἀνὴρ, ᾧ Θεὸς ὄλβον ἅλις καὶ πλοῦτον ὄπασσε,
Καὶ τιμὴν, τοῦ δ᾽ οἶκος ὀφέλλεται, οὐδέ τι οἱ κῆρ
Δεύεται, ὧν ἐθέλει, καὶ ὅσα φρεσὶν ᾗσι μενοινᾷ·
Ἀλλὰ τί οἱ τῶν ἦδος; ἐπεὶ Θεὸς οὐ οἱ ἔδωκεν
Ὧν κτεάτων ἀπόνασθαι, ἔδειν τ᾽ οὐκ εἴασε δαίμων,
Ἄλλος δ᾽ αὖ μετόπισθεν, ὃν ἠγνοίησεν ἐκεῖνος,
Ἔσθεται,

Sed & omnibus diebus, quamdiu in vivis eſt,
In caligine, & dolore caliginis opacæ ſocio
Cibum edit, laboréque, & mœroribus animum macerans
Indeſinenter validis: ſimul autem eum indignatio & ira
Morbúſque gravis, & furiæ ſemper comitantur.

Ecce nunc, quod & ipſe oculis vidi,
Quòd hoc quidem bonum & decorum homini eſt
Edere & bibere, & ſuis operibus frui,
Et labore, quem confecit ſub ſplendore ſolis,
Et ſubſtantiâ quam colligit continuè dies omnes,
Dum charam vitam dat Deus: hæc enim ei portio.
Si cui opes dedit Deus, & divitias multas,
Quibus bene vivunt homines, & facultatibus frui
Dedit, lætitiámque, & edere qualia adſunt,
Ità ut non privetur ſorte, gaudeat verò in animo,
Quoniam ſui laboris habet gratam mercedem :
Gaudeat, non ei indecorum, quandoquidem Deus ei hoc dedit:
Nequaquam aſpernanda ſunt Dei præclara dona.

Non valdè enim recordabitur ærumnæ quam ſuſtinuit,
Neque vitæ moleſtæ, & quotquot ei erant dies mali :
Quoniam voluptatem dedit Deus, neque negavit
Gaudia multa & bona, quæ ejus cordi conveniunt.

CAP. VI.

ALiud quidem malum eſt, quod oculis vidi
(Multi autem homines id habent) ſub ſole ſplendente.
Homo cui Deus opes abundè, & divitias præbuit,
Et honorem, ejus autem ſubſtantia augetur, nec ullâ re ejus cor
Caret, earum quas vult, & quas animo ſuo cupit:
Sed quæ ei horum utilitas? quandoquidem Deus ei non dat
Suarum poſſeſſionum fructum capere, & edere non permittit genius,
Alius autem viciſſim in poſterum, quem ignoravit ille,

Ἔσσεται, ὅς κεν ἐὸν κάματον νήποινον ἔδησιν.
3 Εἰ γὰρ ἀνὴρ πολύπαις, ἑκατὸν δέ τε τέκνα τέκησι,
Πουλυετὴς δέ τ' ἔῃσιν ἐπὶ ζείδωρον ἄρουραν,
Καὶ δηθὰ ζωοῖσι μεμιγμένος, ἤματα πολλὰ
Ἐκτελέσῃ, πολλούς τε περιπλομένους λυκάβαντας,
Ἀλλ' εἰ οὖν κατὰ θυμὸν ἑάων οὐκ ἐνιπλήσθῃ
Ζωὸς ἐὼν, ψυχὴ δ' οἱ ἀτεμβομένη κίεν ἴσης,
Καὶ ἐπεὶ οὖν τέθνηκεν, ἀκηδὴς κεῖτ' ἐπὶ γαίῃ,
Οὐδέ που ἔλλαχε τύμβον, ὅ γὰρ γέρας ἐστὶ θανόντων,
Φημὶ κρείσσονα τοῦδε τόκον παναώριον εἶναι.
4 Σαὺ ματίῃ γὰρ ὁ πρῶτον ἐσέρχεται, αἶψα δ' ἀπ' ἀνδρῶν
Οἴχετ' ἄϊστος, ἄπυστος, ἐνὶ ζόφῳ ἠερόεντι,
Ἀκλειῶς, αὐτοῦ δ' ὄνομα σκότος ἀμφικαλύψει.
5 Ἀλλὰ καὶ οὐκ εἶδεν λαμπρὸν φάος ἠελίοιο,
Οὐδέ τι ἔγνω ἧσιν ἐνὶ φρεσὶν, οὐδ' ἐνόησε·
Τῷδε μὲν ἡσυχίη πέλεται πλέον ἤπερ ἐκείνῳ.
6 Εἰ γὰρ καὶ δύο χιλιάδε ζώῃ ἐνιαυτῶν,
Ἀλλ' οὐδ' ὥς ποτ' ἴδεν τι κρήγυον· οὐκ ἄρα πάντες
Εἰς ἕνα χῶρον ἴασι; καὶ οὐκ ἴα πᾶσι τελευτή;
7 Πᾶς πόνος, ὃν τ' ἐμόγησεν ἀνὴρ, πέλεν εἵνεκα γαστρὸς
Οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσι·
Μάψ. εἴ περ γάρ τις τε φέρῃ μειλίγματα θυμῷ,
Ἀλλ' οὐδ' ὣς ἄδος οἱ, πλεόνων δέ μιν ἵμερος αἱρεῖ.
8 Τί πλεῖον γὰρ ἔχει πινυτὸς φρεσὶν, ἠὲ χαλίφρων;
Ἴση μοῖρ' ἀμφοῖν· τί δ' ἔχει κεχρημένος ἀνὴρ,
Ὃς καὶ ἐπισταμένως οἶδε ζωοῖσιν ὁμιλεῖν;
Τοῦδ' ὅ περ ἀφνειὸς, καὶ ὁμοίης ἔμμορεν αἴσης.
9 Κρείσσων ὀφθαλμοῖσιν ὁρῶν ὅ, τι οἱ φίλον εἴη,
Ἠὲ πολυπλάγκτοιο πόθου δεδονημένος οἴστρῳ·
Τοῦτο μὲν οὖν ματίη τε πέλει, ταραχή τε νόοιο.
10 Κεῖνο τὸ καὶ πάλαι ἔσκε, Θεοῖο μέγ' ἔξοχον ἔργων,
Ἤδη μὲν τόδ' ἔχει κλυτὸν οὔνομα, καὶ περὶ πάντων,

Ῥεῖα

Erit, qui ejus laborem gratìs edet.
 Etſi vir prole-abundet, centúmque liberos gignat,
Annosúsque ſit ſuper alma terra,
Et diu inter vivos verſans, dies multos
Transigat, multóſque circumlabentes annos,
Tamen ſi ſuo in animo bonis non repletur
Dum in-vivis eſt, anima autem ei fraudata incedit (ſuâ)portione,
Et poſtquam mortuus eſt, inhumatus jacet ſuper terram,
Nec ullibi obtinet ſepulchrum, qui honor eſt mortuorum,
Dico meliorem illo fœtum omnino-immaturum eſſe.
 Cum vanitate enim hic primùm ingreditur, ſtatim verò ex hominibus
Evaneſcit obſcurus, incognitus, in tenebris opacis,
Inglorìè, ejus verò nomen caligo obteget.
 Quinetiam non vidit ſplendidum lumen ſolis,
Nec quicquam novit ſuo in animo, neque intellexit:
Huic requies eſt pluſquam illi.
 Quamvis etiam duas chiliades vivat annorum,
Sed neque ſic unquam vidit aliquod bonum: non utique omnes
Ad unum locum vadunt? & nonne idem omnibus exitus?
 Univerſus labor, quem tolerat homo, eſt propter ventrem
Pernicioſum, qui multa mala hominibus dat:
Incaſſum: etſi enim quis ferat lenimenta appetitui,
Tamen neque ſic ſatietas ei, plurium autem eum deſiderium capit.
 Quid enim plus habet prudens animo, quàm ſtultus?
Par conditio omnibus: quid autem habet egenus homo,
Qui & prudenter novit inter vivos converſari?
Hoc quod dives, & ſimilem ſortitur portionem.
 Melior oculis videns, quod ei gratum eſt,
Quàm vagi deſiderii jactatus œſtro:
Hoc igitur vanitas etiam eſt, perturbatióque mentis.
 Illud quod & olim erat, inter Dei opera longè præcipuum,
Jam certè hoc habet illuſtre nomen, & ſuper omnia,

Facilè

Ῥεῖα δ' ἀείγνωτον πέλει, ἄνδρα δέ μιν καλέουσιν,
Ἀλλ' οὐδ' ὡς θέμις οἱ τῷ κρείσσονι κάρτος ἐρίζειν.
11 Πόλλ' ἐπεί ἐστιν, ἃ καὶ ματίην ἄνδρεσσιν ἀέξει,
Τί σφίσιν οὖν ὄφελος πάντων, ὅσα τ' εἴσ' ἐπὶ γαῖαν;
12 Τίς γὰρ ἐνὶ φρεσὶν οἶδε τί κέρδιόν ἐστ' ἀνθρώπῳ
Ζῶντί τε δερκομένῳ τε ἐπὶ χθονὶ πουλυβοτείρῃ,
Ἤματα πάντα βίοιο διαμπερὲς, ὅνπερ ὅγ' ἀνὴρ
Μαψιδίως ἀνύει, τὰ δέ τε σκιῇ ἶσα πέτονται;
Τίς γὰρ ἄν οἱ περί τε εἴποι, ὅ κεν μετόπισθε γένηται,
Αὐτοῦ τεθνειῶτος, ὑπ' αὐγὰς ἠελίοιο;

ΚΕΦ. ζʹ.

1 ΦΕρτερον οὔνομα καλὸν ἐλαίου ἔστ' ἐριτίμου,
Εὐόδμου, ἐδανοῦ· κρεῖσσον δέ τε μόρσιμον ἦμαρ
Ἤματός ἐστιν ἐκείνου, ἐν ᾧ τέκεν ἀνέρα μήτηρ.
2 Βέλτερόν ἐστ' εἰς οἶκον ἴμεν κρυεροῖο γόοιο,
Ἢ δαιτὸς ποτὶ δῶμα, καὶ εἰλαπίνης τεθαλυίης·
Ξυνὴ γὰρ πάντεσσι πέλει βιότοιο τελευτὴ,
Τήν τ' ἄνδρες γοόωσιν, ὅταν τις πέτμον ἐπίσπῃ·
Ὃς δ' ἂρ ἔτι ζώει, τόδ' ἐνὶ φρεσὶν ᾗσι [illegible]ται,
Οὕνεκά τε βροτός ἐστιν, ὁμοίην θ' ὑποδέξεται αἶσαν.
3 Πένθος ἐνὶ κραδίῃ πολὺ κάλλιόν ἐστι γέλωτος·
Ὁππότε γάρ τ' ἄχεος νεφέλη ἐκάλυψεν ὀπωπὴν,
Κῆρ κακὸν ἰᾶται, καὶ ἀμείνονα φῶτα τίθησιν.
4 Οἱ πεπνυμένοι εἰσὶ, μετ' ἀνδράσι μυρομένοισι
Πωλεῦνθ', ὡς γάρ σφι κραδίη θυμός τε κελεύει,
Οἴκῳ ἔνι κλαυθμοῖο, γόοιό τε δακρυόεντος·
Οἱ δὲ παρήοροί εἰσι, μετ' ἀνδράσι τερπομένοισι,
Δῶμα δ' εὐφροσύνης αἰεὶ περὶ κῆρι φιλεῦσι.
5 Κρεῖσσον ἀκουέμεναι πεπνυμένου ἀνδρὸς ἐνιπὴν,
Ἢ ὄπα νηπυτίου λίγα περ μάλ' ἀοιδιόωντος.
6 Ὡς γὰρ ὅτ' ἀμβολάδην·ζεῖ ὕδωρ ἐν ἤνοπι χαλκῷ,

Facilè autem notum eſt, hominem verò ipſum vocant,
Sed neque ſic fas ei cum fortiore viribus contendere.
Multa quandoquidem ſunt, quæ & vanitatem hominibus augent,
Quæ illis igitur utilitas eorum, quæcunque ſunt ſuper terram?
Quis enim in animo novit, quid commodius eſt homini
Viventi, videntíque in terra ampla,
Dies omnes vitæ jugiter, quam hic homo
Fruſtrà conſumit, hi verò umbræ ſimiles volant?
Quis enim ei prædicere queat (id) quod poſtea fiet,
Ipſo mortuo, ſub ſplendore ſolis?

CAP. VII.

Melius nomen bonum unguento eſt pretioſo,
Suave-olenti, grato: melior autem mortis dies
Die eſt illo, in quo peperit virum mater.
Satius eſt in domum ire triſtis luctûs,
Quàm epularum ad domum, & convivii florentis:
Communis enim omnibus eſt vitæ terminus,
Quem homines lugent, cùm quis mortem obeat:
Qui autem adhuc vivit, hoc in animo ſuo conſiderabit,
Quòd (ipſe) etiam mortalis eſt, idémque ſubibit fatum.
Dolor in corde multò melior eſt riſu:
Quando enim doloris nubes obtegit vultum,
Cor malum ſanat, & meliorem hominem reddit.
Qui ſapientes ſunt, inter homines plangentes
Verſantur, ſic enim illis cor, animúſque ſuggerit,
In domo fletûs, luctûſque lacrymoſi:
Qui verò ſtulti ſunt, inter homines ſe-oblectantes,
Domum autem lætitiæ ſemper in corde amant.
Præſtat audire ſapientis viri increpationem,
Quàm vocem ſtulti bellè admodum licèt cantantis.
Sicut enim quando ſurſum-ebulliendo aqua fervet in ſplendido (ære,

Calefit

Θέρμεται ἀμφὶ λέβης, ἅμα δὲ ξύλα κάγκανα κεῖται
Αὖα πάλαι, καὶ ἄκανθαι ὑπὸ τρίποδ' ἐμπυριβήτην
Τάων δὲ φλὸξ ὦρτο, μίνυνθά περ, οὔτι μάλα δήν,
Σὺν σέλαϊ μικρῷ, πάταγος δέ τε καιομενάων·
Τοῖος νηπυτίοιο γέλως πέλει καγχαλόωντος,
Μὰψ τόσον ἀχρεῖον· ματίη τόδε τ' ἔστ' ἀλεγεινή.
7 Ἄφρονα ποίησεν καὶ ἐπίφρονά περ μάλ' ἐόντα
Ὕβρις· δωτίνη δὲ φρέν' ὤλεσε, καὶ νόον ἀνδρός.
8 Ὅ, ττι κεν ἔρδοι ἀνήρ, ἀρχῆς τέλος ἐστὶν ἄμεινον·
Κρείσσων τε τλήμων, καὶ ἐνὶ φρεσὶν ἤπια εἰδὼς
Ἀνδρὸς ὑπερφιάλου, καὶ ἀγήνορα θυμὸν ἔχοντος.
9 Μή τι ποτ' ἀσπερχὲς κεχολῶσθαι σὸν κατὰ θυμόν·
Μῆνις γάρ τε μένει ἐν στήθεσιν ἀφραδεόντων.
10 Μηδ' εἰπεῖν, Τίπτε πρότερ' ἤματα φέρτερα τούτων;
Οὐ γὰρ ἐπισταμένως τόδ' ἀνείρεαι, οὐδὲ μεταλλᾷς.
11 Καλὸν ἐχεφροσύνη, ὅτε τ' ἀνέει κλῆρος ὀπηδεῖ,
Καί τε πέλει μέγ' ὄνειαρ ἐπιχθονίοισι βροτοῖσιν,
Ὅσσοι τε ζώουσιν ὑπ' αὐγὰς ἠελίοιο·
Κρείσσων γάρ τ' ἀρετὴ, καὶ τιμηέστερος αὐτὸς,
Ὅς τ' ἔχῃ ἀμφότερον, καὶ χρήματα καὶ φρένας ἐσθλάς.
12 Ἀμφότερον γὰρ ἔρεισμα, κακῶν δέ τε εἶλαρ ἐτύχθη
Πλοῦτος καὶ πινυτὴ, ῥύεται δέ τε φῦλ' ἀνθρώπων·
Τοῦτο δ' ὅμως πινυτὴ περιγίνεται, ἰδμοσύνη τε,
Οὕνεκ' ἄρα ζωὴν δίδοῖ ἀνδράσιν, ὅς κεν ἔχῃσιν.
13 Ἔργον Παμβασιλῆος ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Τίς γὰρ ἂν ἰθύνοι, σκολιὸν τόπερ αὐτὸς ἔθηκε;
14 Χαίρειν ἤματι τῷ, ὅτε τοι πολὺς ὄλβος ὀπηδεῖ,
Εὖ δὲ φρεσὶ φράζεσθαι ὀϊζύος ἤματι λυγρῷ·
Καὶ τάδε μὲν θῆκεν Θεὸς ἀντίον ἀλλήλοιϊν·
Ἰσάζων, καὶ δῶκεν ἀμοιβαδὶς, ἄλλο μετ' ἄλλο,
Ὄφρα μὴ ἐξεύρῃσιν ἀνὴρ ὅ, ττι ἔσσετ' ὀπίσσω.
15 Πάντ' ἐγὼ ἐφρασάμην, ἐξ οὗ ζωοῖσιν ἐμίχθην,

Calefit circùm lebes, ſimul autem ligna arida jacent,
Sicca dudum, & ſpinæ ſub olla igni-impoſita,
Harum autem flamma oritur pauxillum quidem, non admodum diu,
Cum fulgore parvo, crepitus autem fit ardentium :
Talis ſtulti riſus eſt cachinnantis,
Fruſtrà adeò indecoré : vanitas autem etiam hoc miſerabilis.
Amentem facit, licet (quis) valdè prudens fuerit,
Oppreſſio: donum autem mentem perdit , & intellectum hominis.
Quodcunque fecerit homo, principio finis eſt melior :
Meliórque patiens, & in mente mitia ſciens
Viro ſuperbo, & inſolentem animum habente.
Nè unquam præproperè ſuccenſeas tuo in animo :
Ira enim manet in pectoribus inſipientium.
Neque dicas, Quare priores dies meliores his?
Non enim prudenter hoc inquiris, neque ſcrutaris.
Bona-res-eſt prudentia, quando & homini hæreditas ſuppetit,
Et eſt magnum adjumentum terreſtribus hominibus,
Quotquot vivunt ſub ſplendore ſolis :
Præſtantior enim (ei) virtus, & honoratior ipſe,
Qui habuerit utrumque, & divitias, & intelligentiam bonam.
Utrumque enim columen, & à-malis tutamen eſt ,
Opulentia, & ſapientia, defendítque gentes hominum :
hoc tamen ſapientia ſuperior-eſt, ſcientiáque,
ò quòd vitam dat hominibus, (cuivis ſc.) qui eam habeat.
Opus omnium-regis in animo perpende tuo :
Quis enim rectum reddere-poteſt (id) obliquum quod ipſe fecit?
Lætare die illo, cùm tibi multa fœlicitas adeſt,
nè autem in-mente conſidera calamitatis die triſti :
Et hæc quidem poſuit Deus ex-adverſo ſibi invicem ,
Adæquans, & dedit alternatim, aliud poſt aliud,
Ut nè inveniret homo id quod futurum-eſt in-poſterum.
Omnia ego obſervavi, ex quo in-vivis verſatus-ſum,

(Ὅσσά μοι ἤματ᾽ ἔτυχθεν ὀϊζυροῖο βίοιο,
Ἤματα λυγρὰ, μάταια·) τάδ᾽ ἓν ἐνὶ τοῖσιν ὄπωπα·
Ἄλλος μέν τε δίκαιος ἀνὴρ πέλει, αἴσιμα τ᾽ εἰδὼς,
Ὃς καὶ ἀπ᾽ αἰῶνος νέος ὤλετο, οὐδέ νύ οἱ περ
Χραῖσμ᾽ ἀρετὴ, ἐπεὶ οὔ οἱ ἐπήρκεσεν ὠκὺν ὄλεθρον·
Ἄλλος δ᾽ αὖ κακός ἐστιν, ἐπὶ δηρὸν δέ οἱ αἰὼν,
Οὐδὲ ἃ αἴσυλα ἔργα μινυνθάδιόν μιν ἔθηκεν,
Οὐδ᾽ ἄφαρ αὐτὸς ἑῇσιν ἀτασθαλίῃσιν ὄλωλε.
16 Μή τι δίκαιος ἔησθα λίην τόσον, οὐδ᾽ ὑπὲρ αἶσαν,
Μηδὲ λίην πινυτός· τίπτ᾽ οὖν σε καὶ αὐτὸν ὀλέσσεις;
17 Μὴ κακὸς ἴσθι λίην, ἄλλων πέρι τ᾽ αἰὲν ἀλιτρός·
Μηδέ τι νηπιάας ὄχεε φρεσί· τίπτε δέ σε χρεὼ
Πρὶν ὥρῃ θανέειν, καὶ ὑπέρμορα πότμον ἐπισπεῖν;
18 Εἰ γ᾽ οὖν μέτρον ἄριστον, ὑπερβασίαι δ᾽ ἀλεγειναὶ,
Καλόν σοι ἵνα τοῦτο νόῳ καὶ χερσὶ φυλάσσοις,
Ἀμφοτέρῃσί τ᾽ ἔχοις ἀστεμφέως, μηδὲ μεθείης·
Ὅστις γὰρ δείδοικε Θεὸν, κακὰ πάνθ᾽ ὑπαλύξει.
19 Ἕρκος ἐπιφροσύνη πέλεται πεπνυμένῳ ἀνδρὶ
Μᾶλλον, ἢ ἕρμα πόληϊ δέκ᾽ ὄρχαμοι, οἵ τέ μιν ἶφι
Ῥύαται, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν.
20 Οὐδέ γάρ ἐστι δίκαιος ἐπὶ ζείδωρον ἄρουραν,
Ὅς τ᾽ ἀγαθὸν μόνον ἔρξε διαμπερὲς, οὐδέ θ᾽ ἁμαρτ
21 Μὴ σύ γε πάντ᾽ ἔπεα ξυνίει φρεσὶν, ὅσσα βέβακται,
Πολλὰ δὲ μηδ᾽ ἀλέγῃς, ὡς οὐκ ἀΐοντι ἐοικώς·
Μήποτε καὶ δούλου ὄπα ἀκούσῃς, ὄφρά σοι αὐτῷ
Πολλὰ καταρᾶται, στυγερὰς δ᾽ ἐπικέκλετ᾽ ἐριννῦς.
22 Πολλάκι γάρ τ᾽ εὖ οἶσθα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ὡς καὶ σὺ προέηκας ἐπ᾽ ἄλλοις αὐτὸς ἐπαράς.
23 Τῶνδε πεπείρημαι πάντων φρεσὶ πευκαλίμῃσι·
Φῆν ἄρα ἔσσεσθαι πινυτὸς, πολὺ δ᾽ ἦν ἐπιδευής.
24 Ὅ, τι δ᾽ ἑκὰς, βαθύ τ᾽ ἐστὶ λίην, τίς κέν μιν ἐφεύρ
25 Αὐτὸς ἐγὼ μέμονα, σπουδῇ δέ μοι ἤθελεν ἦτορ

Quotquot mihi dies fuēre miſeræ vitæ,
Dies mali, vani :) hoc igitur inter cætera vidi :
Alius certè juſtus vir eſt, honeſtâque ſciens,
Qui & è vitâ juvenis perit, néque vel illi
Profuit virtus, quandoquidem ab eo non propulſat citum interitum:
Alius verò è contrà improbus eſt, diu tamen ei ævum (durat),
Néque ſua ſceleſta opera brevis-vitæ-hominem eum faciunt,
Néque citò ipſe ſuâ nequitiâ perit.
Nè juſtus ſis nimium adeò, néque ſupra ſortem,
Néque nimis ſapiens : utquid teipſum perdes?
Nè malus eſto nimis, præque aliis ſemper improbus :
Nec ſtultitiam fer in animo : utquid tibi neceſſe eſt ·
Antequam tempus ſit mori, & præter-ſortem lethum oppetere ?
Si igitur mediocritas optima-res (ſit,) exceſſus autem graves,
Expedit tibi, ut hanc mente & manibus cuſtodias,
Ambabú que teneas firmitèr, néque dimittas :
Quiſquis enim timet Deum, mala omnia evitabit.
Munimentum ſapientia eſt ſapienti viro
Magis, quàm præſidium civitati decem dynaſtæ, qui ipſam ſtrenuè
Defendunt, fortitudine freti, & viribus manuum.
Néque enim juſtus eſt ſuper almam terram,
Qui bonum ſolummodò facit perpetuò, néque peccat.
Nè tu omnibus verbis attende in-animo, quæ dicuntur,
Multa autem etiam noli curare, tanquam non audienti ſimilis:
Nè fortè & ſervi (tui) vocem audias, cùm tibi ipſi
Multa imprecatur, infeſtas autem invocat diras.
Sæpè enim bene nôſti in mente & in animo,
Quòd etiam tu projeciſti adverſus alios ipſe imprecationes.
Hæc tentavi omnia mente prudenti :
Dixi utique me futurum ſapientem, multùm autem eram deficiens.
Quod procul, profundúmque eſt valdè, quis id invenire-queat?
Ipſe ego cupiebam, diligentèr autem mihi volebat cor

Μήδεα πυκνὰ δαῆναι, ἐρευνᾷν τ', ἠδὲ μεταλλᾷν,
Ἔργα τ' ἐπίστασθαι, ὅππως, τέο θ' εἵνεκ' ἐτύχθη,
Οἷά τ' ἀτασθάλλουσι χαλίφρονες, ἀφροσύνην τε
Ἀφροσύνην, μανίην τε γινωσκέμεν, ὡς κακόν ἐστιν.
26 Εὗρον δ', ὅττι γυνὴ, ἥ τ' ἀνέρας ἀγρώσσουσα
Σχετλίη ἣν κραδίην ὡς δίκτυα λυγρὰ πέτασσε,
Καὶ παγίδας, καὶ χεῖρας ἀναιδέας ἠΰτε δεσμοὺς,
Ἀῤῥήκτους, ἀλύτους, τοίην εὖ οἶδα γυναῖκα,
Οὕνεκα πικροτέρη πέλεται μέλανος θανάτοιο·
Ὅς φίλος ἐστὶ Θεῷ, μιν ἀλύξει, ὃς δ' ἄρ' ἀλείτης,
Ζωγρηθεὶς, αὐτῇ κεν ἕλωρ καὶ κύρμα γένοιτο.
27 Καὶ τόγ', ἰδοὺ, εὗρόν τε καὶ ἔμμαθον (εἶπεν ὁ Κήρυξ)
Ὡς πεμπαζόμενος πάντα φρεσὶν, ἄλλο μετ' ἄλλο,
Εὖ τε διακρίνων, εἴπου καὶ πεῖραρ ἑλοίμην,
28 Ἀλλ' οὐδ' ὣς ἔτ' εὗρον, ὅπερ μάλα δηθὰ ματεύω·
Εἷς ἀπὸ χιλιάδος που ἀνήρ μοι ἐτύγχανε πάσης,
Καὶ ἐτεόν γ' ἀνὴρ, εὑρημένος· ἀλλὰ γυναῖκα
Τόσσῃ ἐνὶ πληθυῖ διζήμενος, οὐ μίαν εὗρον.
29 Ἠνὶ δ', ἐγὼ τόδε μοῦνον ἐρευνήσας σάφα οἶδα,
Ὡς βροτὸν ἰθυπόρον τεῦξεν Θεὸς, ἠδὲ δίκαιον,
Οἱ δέ τε κέρδεα πολλὰ, νοήματα πολλά τ' ἐφεῦρον.

ΚΕΦ. η'.

1 ΤΙς πέλεν ὡς πινυτός; καὶ τίς κέν οἱ ἰσοφαρίζοι;
Τίς τ' ἔργ' οἶδε νοῆσαι, ἰδ' ἄλλοις εὖ καταλέξαι;
Στίλβει ἐν ὀφθαλμοῖσι, καὶ ἀγλαὸν ὄμμα τίθησιν
Ἔνδον περ πινυτή· γάνυται δέ τε ἀνδρὸς ὀπωπὴ
Κάλλεϊ καὶ χαρίτεσσι· σέβας δ' ἔχει εἰσορόωντας·
Οὔτε κατηφής ἐστι λίην τόσον, οὔτ' ἄρ' ἀναιδὴς,
Ὡς πού τὸ πρὶν ἔην, ὅτε οὐ τόσα μήδεα οἶδεν·
Ἀλλὰ μάλ' αἰδοῖος· δεινὴ δ' ἐπιδέδρομεν αἴγλη,
Θάρσος ἐνηείῃ τε μεμιγμένον ἀμφὶ πρόσωπα.

Conſilia prudentia ſcire, inveſtigaréque & ſcrutari,
Operáque cognoſcere, quomodo & quapropter fiunt,
Et in-quibus improbe-ſe-gerunt inſipientes, ſtultitiámque,
Stultitiam, inſaniámque noſcere, quàm mala-res ſit.
Inveni autem, quòd mulier, quæ virorum venatrix
Improba ſuum cor veluti retia mala expandit,
Et laqueos, & manus impudentes ſicut vincula,
Firma, inſolubilia, talem ſat ſcio fœminam,
Quòd acerbior eſt atrâ morte:
Qui charus eſt Deo, eam effugiet, qui autem peccator,
Captivus, ei præda & lucrum fiet.
Etiam hoc, ecce! inveni & didici (inquit Præco)
Quòd computans omnia animo, unum poſt aliud,
Et benè diſcernens, ſicubi metam aſſequi-potuerò,
Attamen néque ſic adhuc inveni, quod valdè diu quæſivi:
Unus ex chiliade fortè vir mihi occurrebat totâ,
Et verè vir, inventus: ſed mulierum
Tantâ in multitudine perquirens haud unam inveni.
Ecce, ego hoc ſolum perſcrutando certò cognovi,
Quòd hominem rectum fecit Deus, & juſtum,
Illi autem machinas multas, notionéſque multas excogitârunt.

CAP. VIII.

QUis eſt ut ſapiens? & quis ei æquiparari poteſt?
Quis res novit intelligere, & aliis benè explicare?
Fulget in oculis, & ſplendidum vultum reddit
Intus licèt (exiſtens) prudentia: renidet autem hominis facies
Pulchritudine, & gratiis: veneratio autem tenet intuentes:
Neque demiſſo-vultu eſt nimis adeò, neque impudens,
Ut priùs erat, quando non tot conſilia novit:
Sed valdè reverendus: gravis autem circumfulget ſplendor,
Confidentiáque cum manſuetudine mixta circa vultum.

2 Ἄλλο δέ τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
Κρήηνον βασιλῆος ἐφετμὰς, μηδ᾽ ἀπίθησον,
Ἀλλὰ Θεοῦ μέγαν ὅρκον ὀπίζεο, τόνπερ ὄμοσσας.
3 Μηδέ μιν ἀσπερχὲς προλίπῃς κεκοτηότι θυμῷ,
Μαψιδίως ὑπὲρ αἶσαν ἐῆς ἀπονόσφιν ὀπωπῆς
Οἰχόμενος, σὺ δὲ παῦε τεὸν μένος, ἴσχε δ᾽ ἐρωήν,
Μηδὲ κακὴν ἔπι, ὡς πρὶν, ἔχῃς ἀστεμφέα βουλήν·
Κρείσσων γὰρ βασιλεὺς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ,
Ἕρδει θ᾽ ὅππως μιν κραδίη θυμός τε κελεύει.
4 Οὐχ᾽ ἅλιόν γ᾽ ἔπος ἐστὶν, ὅ κεν βασιλεὺς ἀγορεύοι,
Οὐδ᾽ ἀτελεύτητον· δύναμις δέ τέ οἱ ἔνι μύθοις·
Ἔρξεν ὅπως ἐθέλει· τοῦ γὰρ κράτος ἔστ᾽ ἐνὶ δήμῳ·
Τίς κ᾽ ἄρα οἱ εἴπῃσι, Τί ῥέζεις, ὄρχαμε λαῶν;
5 Ὅς κεν ἐφημοσύνην τελέσῃ, κακοῦ ἄμμορος ἔσται·
Γνῶ δ᾽ ἀνδρὸς πινυτοῦ κραδίη ὥρην τε δίκην τε.
6 Οὕνεκα συμπάντων ἔργων ὥρη τε δίκη τε,
Τοὔνεκ᾽ ὀϊζύομεν δειλοὶ βροτοὶ ἄλγεα πολλά.
7 Οὐ γὰρ ἀνὴρ τόδε οἶδεν, ὅ κεν μετόπισθε γένηται·
Τίς γὰρ ἄν οἱ εἴπῃσι, πότ᾽ ἔσσεται ἔσπερ ὀπίσσω;
8 Οὔτις ἀνὴρ ψυχῆς κρατέει, ἐπεὶ οὐ κε δύναιτο
Ψυχὴν ἐν ῥεθέεσσι κατισχέμεν οὐκ ἐθέλουσαν,
Οὐδ᾽ αὐτόν μιν ἔρυσθαι, ὅτ᾽ αἴσιμον ἦμαρ ἱκάνῃ·
Ξυνὸς μὲν κεῖνος πόλεμος πάντεσσι τέτυκται,
Οὐδέ τις ἀστρατίη, θανάτου δ᾽ οὐκ ἔστ᾽ ἀλεωρή·
Οὐδέ τ᾽ ἀτασθαλίη τότε ῥύσεται οὓς θεράποντας.
9 Εἶδον ἐγὼ τάδε πάντα, καὶ ἐν φρεσὶν ἔργον ἕκαστον
Ἐφρασάμην, ὃ τέτυκται ὑπ᾽ αὐγὰς ἠελίοιο·
Ἔστι μὲν οὖν ποτε ἦμαρ, ὅτ᾽ ἀνὴρ ἀνέρος ἄρχει,
Οὐδ᾽ ἀπόνηται ὄπισθε, κακοῦ δ᾽ ἄρα οἱ πέλεν ἀρχή.
10 Ὣς καὶ ἀλείτας αὐτοὺς ἴδον τύμβοιο λαχόντας,
Οἵ ποτ᾽ ἐνὶ λαοῖσι δικασπόλοι ἀνέρες ἦσαν,
Αἰεί τ᾽ εἰν ἀγορῇ πωλεύμενοι, ἔνθα καὶ ἔνθα

Φοίτων

Aliud autem tibi dico, tu verò animadverte, & me audi,
Perfice regis mandatum, néque inobſequens-ſis,
Sed Dei magnum juramentum reverere, quod jurâſti.

Néque eum præproperè deſeras irato animo,
Temerè præter decorum ab ejus ſeorſim conſpectu
Diſcedens, tu verò cohibe tuam iram, compeſce autem impetum,
Néque malum adhuc, ut anteà, retineas obſtinatum conſilium:
Potentior enim rex, cùm iraſcitur homini inferiori,
Facit autem quomodo eum cor, ménsque jubent.

Non fruſtraneum verbum eſt quod rex dixerit,
Néque irritum: potentia autem ei in dictis:
Facit quomodo vult, ejus enim imperium eſt in populo:
Quis autem ei dicere-queat, Quid agis, princeps populorum?

Qui mandatum implet, mali expers erit:
Novit autem hominis prudentis cor tempus, & judicium.

Quoniam omnium negotiorum tempus (eſt) & judicium,
Igitur ærumnoſè-patimur miſeri mortales dolores multos.

Non enim homo hoc novit, quod poſteà fiet:
Quis enim ei dixerit, quando erit in poſterum?

Nullus homo animã in poteſtate habet, quandoquidẽ non poterit
Animam in membris retinere non volentem,
Néque ſeipſum defendere, quando fatalis dies advenit:
Commune quidem hoc bellum omnibus eſt,
Neque ulla immunitas à militia, mortis autem non eſt vitatio:
Neque iniquitas tunc liberabit ſuos ſervos.
Vidi ego hæc omnia, & in mente opus omne
Conſideravi, quod fit ſub ſplendore ſolis:
Eſt certè aliquando dies, quando homo homini imperat,
Neque exinde fructum percipit, mali autem ei eſt principium.
Sic & improbos ipſe vidi ſepulchrum ſortitos,
Qui olim inter populos judices viri fuerant,
Sempérque in foro verſantes, hùc, & illùc

Φοίτων ἂν πόλιν, ἣ ἱρῶν ἕδος ἐστὶ θεμίστων·
Οὐδέ τις αὐτῶν μνήμη ἐν ἀνθρώποισι λέλειπτο
Ἄστυ κάθ', οἵ ἔρξαν· ματίη καὶ τοῦτ' ἀλεγεινή.
11 Ὅττι δίκη μούνῃσι παρέρχεται, οὐδέ τις αἶψα
Τίννυται ἀνθρώπους, οἳ ἀτάσθαλα μηχανόωνται,
Τοὔνεκ' ἀλιτροσύνη ἐπανδάνει ἥασιν ἀνδρῶν,
Σφέας τε κάκ' ἐργάζεσθαι ἐνὶ φρεσὶ θυμὸς ἀνώγει,
Θαρσαλέως, ἐπεὶ οὔπω ἐπαυρήσεσθαι ἔφαντο.
12 Εἰ καὶ ἀλιτρὸς ἀνὴρ ἑκατοντάκις αἴσυλα ῥέζοι,
Οὐδέ πω ὦκα θάνοι, δὴν δὲ ζωοῖσι μετείη·
Αὐτὰρ ὅμως σάφα οἶδα καὶ ἔμμαθον, ὡς ἀγαθόν περ
Ἔσσεται ἀνθρώποισι θεουδέα θυμὸν ἔχουσιν,
Οἳ Θεὸν ἅζονται, τρομέουσί τ' ἐναντίον αὐτοῦ.
13 Ἀνέρι δ' αὖτε κακῷ κακὸν ἔσσεται, οὐδ' ἐπὶ γαῖαν
Ὄψεται ἤματα πολλά, μινυνθάδιος δέ οἱ αἰών,
Καὶ σκιῇ ἴκελος ἔσται, ὅτ' οὐ Θεὸν ἄντα φοβεῖται.
14 Ἔστι μὲν οὖν ματίη τις· ἐπεὶ τάδ' ἔναλλα γίνονται,
Μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐπὶ χθονὶ πουλυβοτείρῃ·
Ἀνέρες εἰσὶ δίκαιοι ὁμοίην ὑποδέγμενοι αἶσαν,
Ὡς εἰ ἀτάσθαλοι ἦσαν, ἀτάσθαλα ἔργα τ' ἔρεξαν·
Εἰσὶ δ' ἀτάσθαλοι ἄνδρες, οἳ ἴσην μοῖραν ἔχουσιν,
Ὡς εἰ αἴσιμοι ἦσαν, ἀμύμονα ἔργα τ' ἔρεξαν.
Τόφρα δ' ἐγὼν ἐφάμην, Ματίη καὶ τοῦτ' ἀλεγεινή.
15 Καὶ τότε γηθοσύνην ᾔνησ', ὅτι οὐδὲν ἄρειον,
Κρεῖσσόν τε βροτῷ ἐστιν ὑπ' ἠέλιον φαέθοντα,
Ἢ φαγέμεν, πιέμεν τε, καὶ εὐφροσύνης ἐπιβῆναι,
Πὰρ μὲν γὰρ τόδε οἱ, μενέει δέ τε ἤματα πάντα,
Ἔργων ἐξ ἰδίων, καματοιό τε, ὃν πολυπεύει,
Ἕως που ἔτι ζώῃ, βίοτός τέ οἱ ἔμπεδός ἐστιν,
Ὃν Θεὸς αὐτῷ δῶκεν ὑπ' οὐρανὸν, ἠέλιόν τε.
16 Ὁππότε μήδεα πυκνὰ μετὰ φρεσὶ θῆκα δαῆναι,
Ἔργα θ' ὁρᾶν, ἃ τέτυκται ἐπὶ ζείδωρον ἄρουραν.

(Καὶ

Itabant per urbem, ubi ſacrarum ſedes eſt legum:
Neque ulla eorum memoria inter homines relicta-erat
Per civitatem, qualia fecerint: Vanitas etiam hoc eſt gravis.

Quia judicium ambagibus protrahitur, nec quis confeſtim
Plectit homines,qui nefaria machinantur,
Idcircò nequitia placet filiis hominum,
Eóſque mala operari in mente animus jubet,
Confidentèr, quandoquidem nondum ſe-luituros putant.

Etſi improbus homo centies mala committat,
Neque citò moriatur, diu autem vivis interſit:
Attamen probè novi, & didici, quòd bonum
Erit hominibus pium animum habentibus,
Qui Deum reverentur, tremúntque coram illo.

Homini autem è contrà malo malum erit, neque ſuper terram
Videbit dies multos, breve autem ei ævum,
Et umbræ ſimile erit, quoniam coram Deo non timet.

Eſt igitur vanitas quædam: quoniam hæc inverſa fiunt,
Temerè, at non ſecundùm ordinem, in terra alma:
Homines ſunt probi ſimilem ſubeuntes ſortem,
Acſi improbi eſſent, improbáque opera facerent:
Sunt verò improbi homines, qui parem ſortem habent,
Tanquam ſi probi eſſent, præſtantiáque opera facerent:
Tum ego dixi,Vanitas & jam hoc gravis.

Et tunc hilaritatem laudavi, quoniam nihil melius,
Satiúſque homini eſt ſub ſole ſplendente,
Quàm edere, biberéque, & lætitiâ affici:
Aderit enim hoc ei, manebítque dies omnes,
Operibus ex ſuis, laboréque quem exantlat,
Dum adhuc vivit, vitáque ei integra eſt,
Quam Deus ei dat ſub cælo, & ſole.

Quando conſilia prudentia in animum induxi ſcire,
Operáque videre, quæ fiunt ſuper terram almam:

(Καὶ γάρ τις ποτὲ ἔργον ἐποιχόμενος κάμεν ἀνὴρ
Συνεχὲς, οὐδέ ποθ᾽ ὕπνον ἐν ὀφθαλμοῖσιν ὄπωπεν
Ἤματος οὔθ᾽ ὥρῃ, οὔτ᾽ ἀμβροσίην διὰ νύκτα.)
17 Πάντ᾽ ἴδον ἔργα Θεοῖο, καὶ ἔγνων ὡς βροτὸς ἀνὴρ
Οὐ δύνατ᾽ εἰρύσθαι, οὐδ᾽ εὑρέμεν ὃν κατὰ θυμὸν
Ἔργον ὅπερ τετέλεσται ὑπ᾽ αὐγαῖς ἠελίοιο·
Εἴπερ γάρ τις δηθὰ ματεύσῃ πολλὰ μογήσας,
Εὑρέμεναι μεμαὼς, εἰ καὶ πεπνυμένος ἀνὴρ,
Φήῃ τ᾽ εἰδήσειν, ἀλλ᾽ ἔμπης οὐκ ἂν ἐφεύρει,
Καὶ μάλα περ σπουδῇ διζήμενος, ἠδὲ μεταλλῶν.

ΚΕΦ. θ'.

1 ΠΆντα τάδ᾽ ἐφρασάμην, καὶ ἐνὶ φρεσὶν εὖ ἐνόησα,
Ὄφρα καὶ ἄλλοισιν καταλέξω, ὅττι δίκαιοι,
Καὶ πινυτοὶ, τῶν τ᾽ ἔργα Θεοῦ ἐν χερσὶ πέλονται.
Οὐδέ ποτ᾽ ἴσασι βροτοὶ ἀνέρες, οἵ ὁρόωσιν,
Εἴτέ τις Ἀθανάτῳ φίλος εἴη, εἴτε καὶ ἐχθρός.
2 Πάντα δ᾽ ὁμῶς κίχε πάντας· ὁ γὰρ Θεὸς ἀνθρώποισι
Μίγδ᾽ ἀγαθόν τε κακόν τε δίδοι, δύναται γὰρ ἅπαντα·
Ἶσοι δ᾽ ἀμφότεροι, καὶ ὁμοίης ἔμμοροι αἴσης
Γίγνονθ᾽, ὅς τε δίκαιος ἀνὴρ, ὅς τ᾽ αἴσυλα ῥέζει,
Ὅς τ᾽ ἠΰς καθαρός τε, καὶ ὃς μάλα πόλλ᾽ ἐμιάνθη,
Ὅς δέ τε ἱερὰ καλ᾽ ἕρδει Θεῷ, ὅς τε καὶ οὐκί·
Ἔστ᾽ ἴα μοῖρ᾽ ἀμφοῖν, ὅς τ᾽ αἴσιμος, ὅς τ᾽ ἀλιτήμων,
Ὅς τ᾽ ὄμοσε κρατερῶς, ὅς τ᾽ αἴδεται ὅρκον ὀμόσσαι.
3 Τοῦτο μὲν οὐλόμενον κακὸν ἔπλετο, καὶ μετὰ πᾶσιν
Ἔργοις, ὅσσα γίνονται ὑπ᾽ αὐγαῖς ἠελίοιο,
Μοῖράν τ᾽ ἀμμορίην θ᾽ ὅτι πάντες ἄμ᾽ ἔλλαχον ἴσην·
Ἀλλὰ καὶ ἕως τελέθουσιν ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων,
Βεβρίθασί τε θυμὸν ἀτασθαλίῃσι κακῇσι,
Καὶ ὀλοῇς μανίῃσι δονεύμενον ἦτορ ἔχουσι
Ζωοὶ, αὐτὰρ μετέπειτα κατέρχοντ᾽, ἔνθα τε νεκροὶ

(Etenim aliquis nonnunquam operi incumbens laborat homo
Continuè, neque unquam ſomnum oculis videt
Nec diurno tempore, nec placidam per noctem:)
Omnia vidi opera Dei, & novi quòd mortalis homo
Non poteſt eruere, neque invenire ſuo in animo
Opus quod factum eſt ſub ſplendore ſolis:
Quamvìs enim quis diu quærat multùm laborans,
Invenire geſtiens, licèt etiam ſapiens vir (ſit),
Putétque ſe cogniturum, veruntamen non inveniet,
Licèt admodum ſtudiosè quærens, & inveſtigans.

CAP. IX.

OMnia hæc conſideravi, & in mente bene obſervavi,
Ut & aliis enarrem, quòd juſti
Et ſapientes, eorúmque opera Dei in manibus ſunt:
Neque unquam ſciunt mortales homines, eò quòd talia vident,
An quis Immortali amicus ſit, an exoſus.
Omnia ſimiliter contingunt omnibus, Deus enim hominibus
Promiſcuè bonúmque, malúmque dat, poteſt enim omnia:
Æquales autem ambo, & ſimilis participes ſortis
Fiunt, quíque juſtus vir (eſt) quíque improba facit,
Quíque bonus, purúsque, & qui valdè multùm inquinatus eſt,
Quíque ſacrificia pulchra facit Deo, quíque non:
Eſt eadem ſors utrisque, qui probus, quíque peccator;
Qui jurat ſtrenuè, quíque veretur juramentum jurare.
Hoc quidem exitiale malum eſt, etiam inter omnia
Opera, quæ fiunt ſub ſplendore ſolis,
Sortémque, & infortunium quod omnes ſimul ſortiuntur æquale:
Sed & quamdiu ſunt ſuper terram gentes hominum,
Referti ſunt in animo iniquitatibus malis,
Et perniciosis furoribus agitatum cor habent
Vivi, verùm deinde deſcendunt, ubi manes

Ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων.
4 Ὃς ζωοῖσι μίγη, ἔτι οἱ καὶ ἐλπίδος αἶσα·
Ζωὸς γάρ τε κύων κρείσσων νεκροῖο λέοντος.
5 Ζωοὶ μὲν γὰρ ἴσασιν, ὃ καὶ θανέεσθαι ὀπίσσω
Μέλλουσ', ὁππότε μοῖραν ἀναπλήσαι βιότοιο·
Νεκροὶ δ' οὐδὲν ἴσασι, καὶ οὐκέτι μισθὸν ἔχουσιν,
Οὐδέ τις αὐτῶν μνήμη ἐν ἀνθρώποισι λέλειπται.
6 Ἀλλά γε πάντα πάθη, τά τ' ἐπ' ἀνθρώποισι πέλονται,
Καὶ φιλότης, καὶ ἔχθος, ἰδὲ φθόνος, ἔχθεος αἰνοῦ
Αὐτοκασίγνητος, τάδε νῦν σφίσι πάμπαν ὄλωλεν·
Οὐδ' ἔτι που σφιν μοῖρα διαμπερὲς, οὐδέ τις αἶσα
Ἐν ἔργοις ἃ τέτυκται ὑπ' αὐγὰς ἠελίοιο.
7 Βάσκ' ἴθι νῦν, ἄρτον τεὸν ἔσθιε θυμὸν ἰανθεὶς,
Πῖνέ τε σὸν γλυκὺν οἶνον ἐΰφρονα, γηθόσυνος κῆρ·
Ἤδη γὰρ σέθεν ἔργα Θεῷ κεχαρισμένα εἰσίν·
8 Αἰεὶ δ' εἵματα λευκά σοι ἔστω σιγαλόεντα,
Αἰεί τε λιπαρὸς κεφαλὴν, λιπαρός τε πρόσωπον
Λάμπεο, μηδὲ κόμαι ἑδανοῦ δευοίατ' ἐλαίου.
9 Χαῖρέ τε καὶ τέρπου, ζώων ἅμα καὶ ὀαρίζων
Σῇ ἀλόχῳ, τῆς αἰὲν ἐέλδεαι ἤματα πάντα,
Καὶ ἔρασαι, ἕως αἶσα μένει κενεοῖο βίοιο,
(Ἅψα γὰρ ἐν κενότητι βροτοὶ καταγηράσκουσιν)
Ἥν τε Θεός τοι δῶκεν ὑπ' ἠέλιον φαέθοντα·
Ἀλλ' ἓν ἤματα πάντα, ἕως ζωοῖσι μέτεσσι,
Χαῖρ'· ἦ γάρ σοι μοῖρα πέλει, καμάτοιό τε μισθὸς
Αἰνοῦ, τόν ῥ' ἐμόγησας ὑπ' οὐρανὸν, ἠέλιόν τε.
10 Εἴ τι σοι ἔργον ἑτοῖμον, ὅ, τ' ἔρξῃς χερσὶ τεῇσιν,
Εἰ δύνασαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστὶν,
Ἔρξον κατὰ δύναμιν μεμαὼς, καὶ πρόφρονι θυμῷ·
Οὐ γάρ τι βροτῷ ἔργον, ἐπεὶ λίπεν ὀστέα θυμὸς,
Οὐ δόλος, οὐ τέχνη, οὔτ' ἆρ πόνος, οὔτε νόημα,
Οὐ φρένις, οὐ πινυτὴ πέλει ἐν τάφῳ, ὁππόθι βαίνεις.

Ἄψ

Sine-mente habitant, hominum ſimulacra mortuorum.

Qui in vivis verſatur, adhuc etiam ei ſpei conditio ;
Vivus enim canis melior mortuo leone.

Vivi enim ſciunt, quòd & morituri poſtmodùm
Sunt, cùm fatum adimpleverint vitæ :
Mortui autem nihil ſciunt, & non ampliùs mercedem habent,
Neque ulla eorum memoria inter homines relicta eſt.

Quin & omnes paſſiones, quæ hominibus competunt,
Et amor, & odium, & invidia, odii gravis
Germana ſoror, hæc nunc illis omnia periêrunt :
Neque amplius illis portio omninò neque ulla ſors
In rebus, quæ fiunt ſub ſplendore ſolis.

Vade age nunc, panem tuum ede animo gaudens,
Bibéque tuum dulce vinum lætum, hilaris corde :
Jam enim tua opera Deo accepta ſunt.

Semper autem veſtimenta alba tibi ſint, ſplendida,
Sempérque delibutus capite, delibutúsque facie
Nite, neque comæ ſuavi careant unguento.

Gaudéque & te oblecta, vivens ſimul & confabulans
Cum tuâ uxore, quam ſemper concupiſcis dies omnes,
Et amas, dum ſors manet vanæ vitæ,
(Statim enim in vanitate mortales ſeneſcunt)
Quam Deus tibi dedit ſub ſole lucente :
Quin ergò dies omnes, dum in vivis es,
Lætare : hæc enim tibi portio eſt, laboríſque præmium
Gravis, quem toleras ſub cælo, & ſole.

Si quod tibi opus paratum, quod facias manibus tuis,
Si potes perficere, & ſi perficiendum eſt,
Fac pro virili alacer, & prompto animo :
Non enim aliquod homini opus, poſtquàm liquit oſſa animus,
Non dolus, non ars, non labor, neque cogitatio,
Non prudentia, non ſapientia eſt in ſepulchro, quò vadis.

Rurſus

11 Ἂψ ἴδον, οἷα γίνονται ὑπ' αὐγὰς ἠελίοιο·
Πολλάκις οὐ ἐν ἀγῶνι κιχάνει καὶ βραδὺς ὠκὺν,
Οὐδέ τε ῥίμφα θέοντες ἀέθλια ποσσὶν ἄροντο,
Ὡς οὐ καρπαλίμοισιν ἐνὶ δρόμῳ ἔπλετο νίκη,
Οὐδέ τι καμμονίη κρατεροῖς, πολέμοιό τε κῦδος,
Οὐκ ἄρτος πινυτοῖς, οὐ πλοῦτος ἐϋφρονέουσιν,
Οὐ χάρις ἀνθρώποις πολλῶν εὖ εἰδόσιν ἔργων·
Ἀλλ' ὥρη τε καὶ αἶσα κιχάνει πάντας ὁμοίως.
12 Οὐ γὰρ ἀνὴρ γινώσκει, ὅτ' αἴσιμον ἦμαρ ἱκάνει,
Νήπιος, οὐδ' ἐνόησεν, ὅ οἱ κακὸν ἐγγύθεν ἦλθεν
Ἐξαπίνης· ἰχθῦς δ' ὡς δικτύῳ ἐν πολυωπῷ,
Λυγρῷ, ὥς τ' ὄρνιθες ἀμήχανοι ἀπροτιόπτοις
Ζωγρεῦνται παγίδεσσι, καὶ οὐκέτι φυκτὰ πέλονται.
Ὥς τε κακῇ ὥρῃ πεπεδήατο φῦλ' ἀνθρώπων,
Σχέτλιοι, ὡς ἁψῖσι λίνου ἁλόντε πανάγρου,
Ὁππότε πήματι κύρσαν, ὅ, τ' οὐ φρεσὶ δέγμενοι ἦσαν.
13 Καὶ πινυτὴν τήνδ' εἶδον ὑπ' αὐγὰς ἠελίοιο,
Ἦ καί μοι φρονέοντι μάλα μεγάλη δέατ' εἶναι.
14 Μικρή τις πόλις ἦν, παῦροι δέ τε ἄνδρες ἐν αὐτῇ,
Καδδ' ἄρα τῆς βασιλεὺς, οὗ τε κράτος ἦε μέγιστον,
Ἦλθεν πανσυδίῃ, πολλὸς δέ οἱ εἵπετο λαὸς,
Τὴν δὲ διαπραθέειν μεμαὼς κυκλώσατο πάντῃ,
Κρόσσας τ' ἔστησεν μεγάλας, καὶ ἔδειμεν ἐπάλξεις·
Ἦν δέ τις αὐτόθι πενιχρὸς ἀνὴρ πεπνυμένα εἰδὼς,
15 Ὅς τ' ἐσάωσε πόλιν πολυϊδρείῃσι νόοιο·
Ἀλλ' οὔτις μετόπισθ' ἐμνήσατο τοῖο πενιχροῦ,
Ἐν φρεσίν· ὡς οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων.
16 Καὶ τότ' ἔφην, Πινυτὴ μέγα κάρτεός ἐστιν ἀμείνων·
Ἀλλ' οὔτις πινυτὴν ἀλέγει κεχρημένου ἀνδρὸς,
Οὐδέ τις ὧν ἐπέων ἐμπάζεται, ὅ, τι κεν εἴπῃ.
17 Μᾶλλόν τις πινυτῶν τε καὶ ἀτρέμα μῦθον ἀκούει,
Ἢ ἐνοπὴν ἀνδρὸς μετὰ νηπυτίοισι μέδοντος.

Κρείσσων

Rurſùs vidi, qualia fiunt ſub ſplendore ſolis:
Sæpe igitur in curriculo aſſequitur etiam tardus celerem,
Neque perniciter currentes præmia pedibus reportant,
Adeò non velocibus in curſu eſt victoria,
Neque palma fortibus, bellíque gloria,
Non panis ſapientibus, non divitiæ prudentibus,
Non gratia hominibus multorum peritis operum:
Sed tempus & caſus aſſequuntur omnes ſimiliter.

Non enim homo ſcit, quando fatalis dies advenit,
Stolidus, neque animadvertit, quòd ei malum propè accedit,
Repentè: ſed ſicut piſces reti in foraminoſo,
Malo, & ſicut aves ſimplices improviſis
Capiuntur laqueis, & non amplius effugium eſt:
Sic malo tempore illaqueantur gentes hominum,
Miſeri, tanquam nexibus retis capti omnia-venantis,
Quando in damnum incidunt, quod non in animo expectaverant.

Etiam ſapientiam hanc vidi ſub ſplendore ſolis,
Quæ & mihi cogitanti valdè magna videbatur eſſe.

Parva quædam civitas erat, pauci autem homines in eâ,
Contra eam verò rex, cujus potentia erat maxima,
Venit cum-omnibus-copiis, multus autem eum ſequebatur populus
Eam autem expugnare cupiens obſedit undique,
Scaláſque-bellicas erexit magnas, & extruxit munimenta:

Erat autem quis ibi pauper vir prudentia ſciens,
Qui & ſervavit urbem peritiâ mentis:
At nemo poſteà meminit illius pauperis
In animo: adeò non eſt gratia in-poſterum benefactorum.

Et tum dixi, Sapientia longè viribus eſt præſtantior,
Sed nemo ſapientiam curat pauperis viri,
Nec quis ejus verba conſiderat, quodcunque dixerit.

Magis quis prudentium etiam tranquillè ſermonem audit,
Quàm clamorem hominis inter ſtultos imperantis.

18 Κρείσσων μὲν πινυτὴ ὅπλων, τῶν πέρ τε μάλα χρεὼ
Ἀνέρας ἐν πολέμῳ, βουλή τε βίης μέγ' ἀμείνων
Γίνεται· εἷς δ' ἂρ ἀλιτρὸς ἀθέσφατον ὄλβον ὄλεσσεν.

ΚΕΦ. ι'.

1 ἩΔὺ μάλα πνείει μυροθήκιον, ἐν δὲ πεσοῦσαι
Μυῖαι, ἐπεί κε θάνωσιν, ὔλεσσαν μίγματος ὀδμὴν,
Σχέτλιαι· οὐδ' ἄρα τάς γε ἰδὼν γήθησε μυρεψός·
Ἀντὶ δὲ τῆς ὀδμῆς στυγερὴ ἀπὸ πικρὸν ὀδώδει
Πυθομένοιο μύρου, μυιάων τ' ὀλλυμενάων·
Ἀφροσύνη τ' ὀλίγη περ ἀπώλεσεν ἀνέρος ὀδμὴν,
Ἀνέρος, οὗ πρὶν μὲν γλυκύ τ' οὔνομα, καὶ κλέος ἐσθλὸν,
Ὡς πινυτῇ τιμῇ τε μετ' ἀνθρώποισι κέκασο,
Νῦν δ' ἄτη μιν ἄασεν, ἐπεὶ τὰ χερείονα νικᾷ.
2 Κῆρ ἐπὶ δεξιόφιν πεπνυμένου ἔπλετο φωτός·
Ἀλλ' ἐπ' ἀριστερόφιν κραδίη πέλε νηπυτίοιο.
3 Ἀλλὰ καὶ, ὅς τ' ἀνὴρ ἀποφώλιος ἠδὲ χαλίφρων,
Ὄφρ' ἂν ὁδὸν βαίνει, νόον ἐκπεπαταγμένος ἐστὶ,
Πᾶσιν δ' ἀμφαδὰ θῆκ', ὅ οἱ οὐ φρένες οὐδ' ἠβαιαί.
4 Εἴποτέ τοι ἐπέων κεχολωμένος, ἠὲ καὶ ἔργων
Ἀρχὸς ὀδώδυσαι, θυμὸς δέ οἱ ἔνδον ὀρίνθη,
Μή σύ γε οὖν προλίπῃσθα τεὸν ἕδος, ὅ πρὶν ἔχεσκες,
Αὐτίκα μαψιδίως· ἀγανοφροσύνη γὰρ ἀμείνων,
Ἡ μεγάλων ἄκος ἐστὶ κακῶν, ὅτε κέν τις ἁμάρτῃ.
5 Ἔστι κακὸν τί περ εἶδον ὑπ' αὐγὰς ἠελίοιο,
Οὕτω καί μοι ἐείσατ' ἐν ἀνθρώποισι τετύχθαι,
Ὡς εἰ ἄναξ τόδ' ἔρεξε, καὶ ἤμβροτε, καὶ μέγ' ἀάσθη.
6 Ἄφρονα θυμὸν ἔχοντες ἐφ' ὑψηλοῖσι θρόνοισιν
Ἵδρυνται, τιμὴν τε λελόγχασι νήπιοι ἄνδρες·
Εἵαται αὖ τ' ἀφνειοὶ ἐνὶ χθαμαλοῖσιν ἕδεσσιν.
7 Εἶδον ἐγὼ θεράποντας ἐφ' ἵππων, αὐτὰρ ἄνακτας
Πεζοὺς, ἠδὲ χαμαὶ ἶσα δμώεσσιν ἰόντας.

8 Ὅστις

Melior quidem ſapientia armis, quibus etiam valdè opus-eſt
Hominibus in bello, conſiliúmque robore multò præſtantius
Eſt: unus autem peccator ingentes opes perdit.

CAP. X.

Suave admodúm olet myrothecium, illapſæ verò
Muſcæ, poſtquam mortuæ fuerint, perdunt unguenti odorem,
Improbæ: neque eas videns gaudet myropola:
Pro eo verò odor teter acerbùm ſpirat
A putreſcente unguento, muſcisque pereuntibus:
Stultitiáque exigua licèt perdit hominis odorem,
Hominis, cujus anteà quidem dulce (erat) nomen, & fama bona,
Atqui prudentiâ, honoréque, inter homines ornatus fuerit,
Nunc verò noxa eum læſit, ſiquidem deteriora vincunt.

Cor ad dextram ſapientis eſt viri:
Sed ad ſiniſtram cor eſt ſtulti.

Quin etiam qui vir inſipiens (eſt) & ſtolidus,
Dum per viam incedit, mente excuſſus eſt,
Omnibus autem palàm facit quòd ei ſapientiæ nè tantillùm quidẽ.

Si unquam tibi ob verba iratus, aut etiam facta
Princeps ſuccenſeat, animus autem ei intùs concitetur,
Nè idcirco relinquas tuam ſedem, quam anteà habebas,
Statim temerè: lenitas enim potior,
Quæ magnorum remedium eſt malorum, quum quis peccaverit.

Eſt malum quod vidi ſub ſplendore ſolis,
Ita & mihi videbatur inter homines fieri,
Ac ſi rex illud faceret, & peccaret, & valdè læderetur.

Inſipientem animum habentes in excelſis ſedibus
Collocantur, honorémque adepti ſunt ſtulti homines:
Sedent contrà divites in humilibus ſedibus.

Vidi ego ſervos ſuper equos, ſed principes
Pedites, atque humi inſtar ſervorum euntes.

8 Ὅστις βόθρον ὄρυξεν ἀνὴρ, ἐνὶ τῷδε πεσεῖται·
Ἑρκίον ὃς τ' ἔῤῥαισεν, ὄφις κεν ἑ ῥεῖα δάκῃσι.
9 Δηλήσαιντό κεν ἄνδρα λίθοι, τοὺς ὤχλισεν αὐτὸς,
Ὡς τάχα οἱ μέγα πῆμα κυλισθῇ, λᾶας ἀναιδής·
Καὶ δέος, ὃς πελέκει κέασε ξύλα, μή τι πάθῃσιν,
Ἢ σχίζῃ δρυὸς, ἢ βλάψας χρόα νηλέϊ χαλκῷ.
10 Εἰ δ' ἀκμὴ ἀμβλεῖα, καὶ οὐ τομός ἐστι σίδηρος,
Οὐδέ μιν ὀξὺν ἔθηκεν ὁ τέκτων, οὐδ' ἐθόωσε,
Χρὴ ἔργον χερσίν τε βίηφί τε μᾶλλον ἐπείγειν·
Ἡ δὲ φρόνις μέγ' ὀφέλλει, ἰθύνει τ' ἀνδρὸς ἐρωήν.
11 Εἰ μὴ ὄφις μαλακῇ ἐπαοιδῇ θυμὸν ἐθέλχθη,
Δήξεται ὅν κεν ἵκηται· ἔθεν δ' οὐκ ἔστιν ἀμείνων,
Ὅς ῥ' ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδη.
12 Ἀνδρὶ πύκα φρονέοντι χάρις μύθοισιν ὀπηδεῖ·
Ἄφρων δ' οἷσι λόγοισιν ἐπίσπαστον κακὸν ἕξει,
Καὶ ἐπέεσσιν ὄλειται, ἅ οἱ φύγεν ἕρκος ὀδόντων.
13 Ὅστις ἐπεὶ τὸ πρῶτον ἀνέκραγεν, εἶπέ τε μῦθον,
Νηπιάας ἀνέφηνε, χαλιφροσύνην τε νόοιο.
Ὅσσά τε ὑστάτιόν περ ἀνὰ στόμ' ἔχων ἀγορεύει,
Ἄτῃ καὶ μανίῃσιν ὑποκρέκει· ὥς κεν ὃ καλὸν
Οὔτέ ποτ' ἀρχόμενος φαίη ἔπος, οὔτ' ἀπολήγων.
14 Ἔστι μάλ' ἀκριτόμυθος ἀμετροεπής τε χαλίφρων·
Οὐδεὶς οἶδε τὸ μέλλον, ἐπεὶ τίς ἂν ἄγγελος εἴποι
Ἀνδρὶ, τί ἔσσετ' ὀπίσσω, ἔθεν κατατεθνηῶτος;
15 Νήπιοι αἰνὰ μογεῦσι, λύθεν δ' ὑπὸ γυῖα ἑκάστου,
Αὔτως, οὐ γὰρ ἴσασιν ὅπῃ ὁδός ἐστι πόλινδε.
16 Αἲ αἲ, δύσμορον αἶαν, ἄναξ ὅτε νηπιαχεύει,
Ἀρχοί τ' ἠδὲ μέδοντες ἅμ' ἠοῖ σῖτον ἔδουσι·
17 Τρὶς γὰρ σύ ἐσσι μάκαιρ', ὦ γαῖα, καὶ ὀλβιοδαίμων,
Ὁππότε τοι γενεῆς τε καὶ αἵματος ἔμμορεν ἐσθλοῦ
Σὸς βασιλεὺς, ἐυηγενέων τ' ἐξ ἐστὶ τοκήων,
Ἀρχοὶ δ' αἴσιμ' ἔδουσι, καὶ ἐν σίτοιό περ ὥρῃ,

Qui foveam fodit homo, in eam incidet :
Septum quíque perfringit, ſerpens eum facilè mordebit.

Lædent hominem lapides, quos dimovet ipſe,
Ut citò ad eum grave damnum devolvatur, lapis impudens :
Et metus (eſt,) nè, qui ſecuri findit ligna, quid patiatur,
Aut aſſulâ quercûs, aut lædens corpus immiti ferro.

Quòd ſi acies obtuſa eſt, & non penetrans eſt ferrum,
Neque id acutum reddidit faber, néque aptavit,
Oportet opus, manibúsque viribúsque magis urgere :
Sapientia autem multùm promovet, dirigítque hominis impetum.

Niſi Serpens molli incantatione in animo demulceatur,
Mordebit quemcunque contigerit: illo autem non eſt melior,
Qui verba mente ſuâ incondita, multáque novit.

Viro ſapienti gratia in ſermonibus adeſt :
Inſipiens verò ſuis dictis accerſitum malum habebit,
Et verbis peribit, quæ ei fugerunt ſeptum dentium.

Qui quàm primùm in-vocem-erupit, dixítque verbum,
Stultitiam oſtendit, imperitiámque mentis :
Quæque poſtremùm in ore habens loquitur,
Noxæ, & vanitatibus conſonant: ita hic bonum
Neque unquam incipiens fatur verbum, neque deſinens.

Eſt admodùm verboſus, & garrulus ſtultus :
Nemo novit futurum, quandoquidem quis nuncius dicere queat
Homini quid erit poſteà, illo demortuo ?

Stulti gravitèr laborant, ſolvuntur autem membra uniuſcujuſq;,
Incaſsùm, non enim ſciunt quà via eſt ad urbem.

Heu, heu, infelicem terram, rex quando infans eſt,
Ducéſque, & principes diliculò cibum edunt !

Ter autem tu es felix, ô terra, & beata.
Quando tibi genus, & ſanguinem ſortitur bonum
Tuus rex, & ex nobilibus eſt parentibus,
Principes autem moderatè edunt, & in cibi tempore,

Ὃ σφί κεν ἄρκιον ᾖσι μένος καὶ κάρτος ἀέξειν,
Οὔτοι ὑπερβασίῃσι, καὶ οὐ νύ τις οἰνοβαρείων.
18 Πολλῇ ἀργίῃ δόμος ὤλετο, ῥεῖ δὲ μέλαθρον
Ὑετῷ ἐκ νεφέων, ὀροφὴ δ' ἀχρήϊός ἐστιν,
Ἐξ ἀκομιστίης, ὅτι οὐ μιν ἀκέσσεται ἀνὴρ
Ῥωχμοὺς, ἢ τοῖχόν τ' ἀραρὼν πυκινοῖσι λίθοισιν,
Ἣ θέμις οἰκούρων, ὄκνος δέ μιν ἔλλαβε χεῖρας.
19 Εἰλαπίν' ἐυφροσύνης τε γέλωτός θ' εἵνεκ' ἐτύχθη,
Γηθοσύνη γὰρ δαιτὶ συνήορός ἐστι θαλείῃ,
Οἶνός τ' ἐν στήθεσσιν ἐΰφρονα θυμὸν ἔθηκε·
Χρήματα δ' ἐν τιμῇ, πάντων ἀντάξιά τ' ἄλλων.
20 Μή τι καταρᾶσθαι βασιλῆϊ κάκ', οὐδ' ἐνὶ θυμῷ,
Μηδέ ποτ' ἀφνειοῖσι, μυχῷ δόμου, ἔνθα περ εὕδεις
Οἶος ἄνευθ' ἄλλων· ὄρνις γὰρ ἐν αἰθέρι φωνὴν
Οἴσει, ἀπαγγελέει τε ὑπουράνιον πετεηνόν.

ΚΕΦ. ιά.

1 Εἶδ' ἄγε, βάλλε σὸν ἄρτον ἐφ' ὕδατα πρόφρονι θυμῷ.
Ὅττι μιν εὑρήσεις, ἕξεις τε μετ' ἤματα πολλά.
2 Δὸς μοῖραν πτωχοῖς, ἑπτ' ἀνδράσιν, ἀλλὰ καὶ ὀκτώ·
Οὐ γάρ πω κακὸν οἶσθ', ὅ περ ὕστερον ἔσσετ' ἐπ' αἶαν.
3 Εἰ νέφεα σφαραγεῦνται, ἔφυγρά τε, ἔγκυά τ' εἰσι,
Τίκτουσι σταγόνας, καὶ ἐπὶ χθόνα γίνεται ὄμβρος,
Ἡ μὲν ἅλις πίνει, ῥεῖ ὕδωρ, τὰ δὲ κεινὰ λέλειπται.
Εἴτ' οὖν πρός γε νότον πέσε δένδρεον, εἴτ' ἄρα κεῖνο
Πρὸς βορέην, ᾗ περ τὸ πρῶτον ἔπιπτεν ἔραζε,
Ἔνθα καὶ ἐσσεῖται, μενέει δέ τε τῷ ἐνὶ χώρῳ.
4 Ὃς ῥ' ἄνεμον σκοπέει, ἄσπαρτός οἱ ἔσσετ' ἄρουρα·
Ὃς νεφέων τ' ἀλεγίζει, ὅδ' οὔποτε καρπὸν ἀμήσει.
5 Ὡς περ ὁδὸν ψυχῆς οὐκ ἔγνως, οὐδ' ἐνόησας,
Πῶς ἔβη ἐς χρόα φωτὸς, ἑόν τ' εἰσήλυθεν οἶκον,
Οὐδ' ὅππως σάρκες τε καὶ ὀστέα μικρὰ φύονται

Quòd ipſis ſufficiens ſit, ſpiritus, & vires augere,
Non intemperanter, nec quis (inter eos) vino-gravatus (eſt.)
Per multam ſocordiam domus perit, fluit autem ædificium
Pluviâ è nubibus, tectum autem inutile eſt,
Ex neglectu, quoniam non illud reſarciet homo
Circa rimas, aut murum condenſans crebris lapidibus,
Prout decet domum-cuſtodes, pigritia autem eum occupavit in manibus.
Convivium hilaritatis, riſúſque gratiâ ſit,
Lætitia enim epularum comes eſt florentium,
Vinúmque in pectore hilarem animum reddit:
Pecunia autem in precio omnibus rebus æquipollet aliis.

Ne imprecare regi mala, neque in animo,
Neque unquam divitibus, in conclavi domus, ubi dormis
Solus ſeorſim-ab aliis: avis enim in æthere vocem
Feret, nunciabítque aeria volucris.

CAP. XI.

EIa age, projice tuum panem ſuper aquas prompto animo:
Quoniam eum invenies habebíſque poſt dies multos.
Da portionem pauperibus, ſeptem hominibus, immo & octo:
Nondum enim malum nôſti, quod poſteà erit ſuper terram.
Si nubes diſtenduntur, humidæque, gravidæque ſunt,
Pariunt guttas, & ſuper terram naſcitur imber,
Illa quidẽ affatim bibit, fluit aqua, hæ autem vacuæ relinquuntur.
Sive ad Auſtrum cadat arbor, ſive illa
Ad Aquilonem, ubi primùm cecidit in terram,
Ibi & erit, manebítque illo in loco.
Qui ventum obſervat ſine-ſemente ei erit tellus:
Quíque nubes curat, hic nunquam fruges metet.
Sicut viam animæ non cognoſcis, neque intelligis,
Quomodo venit in corpus hominis ſuámque intrat domum,
Nec quomodo caro, & oſſa parva pullulant

Κρύβδ', ἃ γυνὴ φορέει ἐγκύμονος ἔνδοθι γαστρός·
Οὕτως οὐδ' ἐνόησας ἐνὶ φρεσὶν ἔργα Θεοῖο,
Ὅς τεκτήνατο πάντα, καὶ ἔρξεν ἐπίφρονι βουλῇ.
6 Πρωῒ μάλα σπείρῃς σὰ σπέρματα, μηδέ τι φειδὼ
Ἔστω χερσὶ τεῇσιν, ὅταν μέλας ἕσπερος ἔλθῃ·
Οὐδὲ γὰρ εὖ ἔγνως εἰ τοῦτ' ἢ τοῦτ' ἀρετήσει,
Ἠὲ καὶ ἄμφω καλὰ καὶ αἴσιμα ἔσσεθ' ὁμοίως.
7 Ἡδὺ μάλ' ἀνθρώποισιν ἔχειν βιοτήσιον αὐγήν,
Τερπνόν τ' ὀφθαλμοῖσιν ὁρᾷν φάος ἠελίοιο.
8 Εἰ δέ τις ἐν ζωοῖσιν ἴδῃ πολλοὺς ἐνιαυτοὺς,
Χαίρων ἤματα πάντα, τεταρπόμενός τε φίλον κῆρ·
Αὐτὰρ ὅμως προτιοσσέσθω φρεσὶ κῆρας μελαίνας,
Ἀχλύν τ' οὐλομένην, ἄτην τε, καὶ ἤματα λυγρά,
Πολλὰ γὰρ ἔσσονται. Ματίη πᾶν, ὅ, ττι κεν ἔλθῃ.
9 Εἶδ' ἄγε, κοῦρε πέπον, χαῖρε φρεσὶν, ὅς νύ περ ἐσσὶ,
Ἕως ἔτι τοι ἥβης χαριέστατον ἄνθος ὀπηδεῖ·
Σῷ θυμῷ τ' εἴκων μάλα τέρπεο, ὄφρ' αἰζηὸς
Εἶ, κραδίην δέ τοι ἔνδον εὐφροσύνῃσιν ἰανθῇ·
Ἔρξον ὅπως ἐθέλεις, ὅ, τε σοι περὶ κῆρι μέμηλεν,
Ὀφθαλμοῖσί τε σοῖσι δοάσσατο κάλλιον εἶναι.
Ἄλλο δέ τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
Ἴσθι γὰρ εὖ τόγε θυμῷ, ὃ πάντων εἵνεκα τούτων
Ἀθάνατος μέλλει σε Θεὸς μετέπειτα δικάζειν.
10 Τοὔνεκά σοι τερπωλὴ ἅδοι φρεσὶ, μηδέ τι πάμπαν
Σὴν ἔδεο κραδίην, μηδ' ἄλγεσι θυμὸν ἄμυσσε,
Μηδ' ἄχεϊ χρόα καλὸν ἐναίρεο, μηδέ τι σάρκας,
Ἀλλ' ὀδύνην τε κακόν τ' αὐτέων ἄπο νόσφιν ἔρυκε·
Ἄμφω γὰρ ματίη, ἅμα νηπίη τε καὶ ἥβη.

ΚΕΦ. ιβ'.

1 ΝΥν ἄγε κούρος ἑῶν μιμνήσκεο Παμβασιλῆος,
Ὅς σε πρῶτον ἔτευξε, καὶ ἔπλασε μηδὲν ἐόντα,

Occultè, quæ mulier gerit prægnanti in utero:
Sic neque intelligis in animo opera Dei,
Qui fabricat omnia, & facit ſapienti conſilio.
Manè admodum ſemina ſemen tuum, neque ulla parſimonia
Sit manibus tuis, quando ater veſper venit:
Non enim benè noſti, an hoc, vel illud ſuccedet-proſperè,
Vel etiam ambo bona, & convenientia erunt ſimiliter.
Dulce admodum (eſt) hominibus habere vitalem lucem,
Et delectabile oculis videre lumen ſolis.
Si quis verò inter vivos videat multos annos,
Gaudens dies omnes, & oblectans ſe in charo corde:
Attamen præſentiat animo mortem nigram,
Tenebráſque funeſtas, noxámque, & dies triſtes,
Multi enim erunt. Vanitas totum (eſt) quodcunque venerit.
Eia age, juvenis delicate, gaude in animo, quiſquis es,
Dum adhuc tibi pubertatis gratioſiſſimus flos adeſt:
Tuóque genio indulgens valdè temet-oblecta, dum adoleſcens
Es, cor autem tuum intus lætitiâ exhilaretur.
Fac prout vis, quódque tibi in corde curæ eſt,
Oculíſque tuis videtur pulchrius eſſe.
Aliud autem tibi dicam, tu verò animadverte, & me audi,
Scito enim benè hoc in mente, quod propter hæc omnia
Immortalis te Deus poſthàc judicaturus eſt.
Igitur tibi voluptas placeat animitùs, neque omninò
Tuum ede cor, neque doloribus animum macera,
Neque luctu corpus tuum confice, neque carnem,
Sed mærorémque, malúmque ab illâ longè prohibe:
Utrunque enim vanitas, ſimul pueritia, & juventus.

CAP. XII.

Nunc age, juvenis dum es, memento omnium regis,
Qui te primùm fecit, & formavit nihil exiſtentem,

Καί μιν ἐνὶ φρεσὶ βάλλευ, ἕως ἔτι τηλίκος ἐσσὶ,
Πρὶν ἢ ἤματα λυγρὰ, κακόν τέ σε γῆρας ἱκάνειν,
Σὺν πολλῇς ὀδύνῃσι κυλινδομένων ἐνιαυτῶν,
(Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν)
Εὖτέ σοι ἄνθος ὀλώλῃ, ἀτὰρ εἴπῃσθα καὶ αὐτὸς,
Οὔτι μοι ἦδος τῶνδε περιπλομένων λυκαβάντων,
Οὐδέ τι τερπωλὴ, ἥ θ' ὁπλοτέροισιν ὀπηδεῖ,
Ἀλλ' αἰεὶ χαλεπός τε βίος, καὶ ἀμείλιχος αἰών.
2 Πρὶν φάος ἠελίοιο, καὶ αἴγλην, ἠδὲ σελήνην,
Ἄστρα τ' ἀμαυροῦσθαι, καὶ ἐπὶ κνέφας οὔλιον ἐλθεῖν,
Καὶ νέφεα σκιόεντα μεθ' ὑετὸν αὖτε νέεσθαι.
3 Ἤματι τῷ ὅτε καὶ φύλακες τρέωσι δόμοιο,
Γυῖα δ' ὑπὸ τρόμος ἕξει, ἰδὲ κρατεροί περ ἐόντες
Τὸ πρὶν, κίονες οἴκου, ὅμως κεύσουσιν ἔραζε,
Οἵ τ' ὀρθοὶ στῆσαν διδυμάονες, ἀλλὰ τότ' ὀκλὰξ
Χείμψουσιν ποτὶ γαῖαν, ὅτ' οὐκέτι ἄρκιος ἰγνύς.
Παύσονται δὲ μύλης, οἳ πρὶν κατὰ μάστακ' ἄλεσσαν,
Οὕνεκα παυρότεροι, μινύθει δέ τε ἔργον ὀδόντων·
Οἱ δ' ἄρα παρκύπτουσι δι' ἐκ θυρίδων μεγάροιο,
Οὔτι σάφ' ὄψονται, πολλὴ δ' ἔσσετ' ἀμφὶς ὁμίχλη.
4 Οὐθ' ὁδὸς ἐς λαύρην, σανίδες γάρ τ' εὖ ἀραρυῖαι
Ῥηϊδίως εἴρξουσι, θυρέων κληϊζομενάων.
Ὁππότε καὶ ἀλέτοιο μίνυνθά περ ἔσσεται ἠχὴ,
(Οὐκέτι γὰρ βαρὺς ὦρτο μύλης κτύπος ὡς τὸ πάρος περ)
Ὄρνις δὲ σμικρὴ ὀλίγη ἐπὶ τετριγυῖα
Ὄρσει τ' ἐξ εὐνῆφιν, ἄϋπνόν τ' ἀνέρα θήσει·
Ὄργανα δ' ἠχήεντ' ἐνὶ τιμῇ οὐκέτ' ἔσονται,
Οὐ φόρμιγξ, μολπή τε, τάπερ τ' ἀναθήματα δαιτός·
Οὐδέ τις οὔασι τέρψις, ἐπεὶ ἔρος ὤλετ' ἀοιδῆς.
5 Ταρβήσει δ' ἐνὶ θυμῷ ἀνὴρ τότε γήραϊ κυφὸς
Εἰν ὁδῷ ἑρπύζων, ἥν τι προὔχῃ ὀλίγον περ,
Οὐ γὰρ ἂν ἄμβατον ᾖ, ἐπεὶ οὔ οἱ ἶς ἐνὶ γυίοις,

Et eum in animo habe, dum adhuc in-ea-ætate es,
Priuſquam dies mali, gravíſque te ſenectus invadat,
Cum multis doloribus volventibus annis,
(Statim enim in miſeria homines ſeneſcunt)
Cùm flos tibi periêrit, quin dicas & ipſe,
Nulla mihi voluptas horum circummeuntium annorum,
Neque delectatio, quæ junioribus adeſt,
Sed ſemper gravis vita, & inſuave ævum.
Priusquàm lux ſolis, & ſplendor, & luna,
Stellæque obſcurentur, tenebræque exitiales ingruant,
Et nubes umbroſæ poſt pluviam iterum redeant.
Die illo, quando & cuſtodes trement domûs,
Membra autem ſubtùs tremor occupabit, & validæ licèt fuerint
Anteà, columnæ domus, tamen nutabunt humum-verſùs,
Quíque erecti ſteterunt gemini, verùm tunc flexo genu
Appropinquabunt ad terram, quoniam non ampliùs ſufficiens (eſt) poples.
Ceſſabunt verò à mola, qui priùs cibum molebant,
Quoniam pauciores (ſunt) remittitur autem opus dentium:
Qui verò proſpiciunt per feneſtras domûs,
Nihil clarè videbunt, multa autem erit circùm caligo.
Neque via (erit) in plateam, valvæ enim benè compactæ
Facilè coercebunt, januis clauſis.
Quando & molituræ paululùm erit ſonus,
(Non enim gravis ortus-eſt molendini ſonitus, ut anteà)
Avis autem parva tenui voce ſtridens
Excitabit è cubili, inſomnémque hominem faciet:
Inſtrumenta autem muſica in honore non ampliùs erunt,
Non cithara, cantúſque, quæ & ornamenta (ſunt) convivii;
Neque ulla auribus voluptas, quandoquidẽ amor periit cantilenæ.
Timebit autem in animo homo tunc ſenectute curvus
In viâ reptans, ſi quid emineat vel tantillùm,
Neq; enim facilè tranſcendi poſſit, quoniam non ei vis in membris,

Οὐδὲ βίη ἔρροντι, δέος δέ τε πάντοθεν ἔσται.
Καὶ πολιοῖς ἀνθήσει ἀμυγδαλῆ ἐν κροτάφοισι.
Φαίης οὐ τέττιγα φέρειν ῥεῖ', οὐδ' ἀμογητὶ,
Ὃς τοῖός τ' εἴη, ὀλίγον δέ κεν ἄχθος οὐ τείρει.
Οὐδ' ἔτι μιν σίτοιο περὶ φρένας ἵμερος ἕξει.
Οὕνεκ' ἀνὴρ δολιχὴν βαίνει ὁδὸν, ὅνδε δόμονδε,
Μακρὸν ὅπου μέλλει καὶ χάλκεον ὕπνον ἰαύειν,
Οἱ δὲ νέκυν γοόωντες ὅσοι πηοί τε ἔται τε
Ἄστυ κάτα στείχουσιν ὁμοῦ ἱερῷ ἐνὶ κύκλῳ,
Κλαυθμῷ τε στοναχῇ τε, τὸ γὰρ γέρας ἐστὶ θανόντων.
6 Ἕως ἔτι πάντα πέπηγε, καὶ ἔμπεδα νεῦρα βίοιο
Γίνεται, ἀργυρέη δ' οὔπω λέλυται μήρινθος,
Οὐδέ τι ἐρραίσθη χρύσεον δέπας, οὐδέ τι πάμπαν
Πὰρ πηγὴν ἐάγη κάλπις, τροχὸς οὐδ' ἐπὶ κρήνῃ.
7 Καὶ τότε δὴ φθιμένοιο κόνις καὶ ὀστέα φωτὸς
Τρέψεται ἂψ ἐπὶ γαῖαν, ὅθεν πάρος ἔλλαβεν ἀρχήν·
Πρὸς δὲ Θεὸν ψυχὴ παλινόρμενος αὐτίκα νεῖται,
Ὃς μιν πρῶτον ἔδωκεν, ἐνέπνευσέν τε μέλεσσιν.
8 Ὦ κενεοφροσύνης ἀπεράντου· φησὶν ὁ Κήρυξ,
Ὦ ματίης.μανίης τε βροτῶν· πάντ' εἰσὶ μάταια.
9 Ἀλλ' ἐπεὶ οὖν Κήρυξ φρεσὶ πευκαλίμῃσι κέκαστο,
Λαὸν ἔτ' ἰδρείην καὶ μήδεα πυκνὰ δίδαξε,
Σπουδῇ δ' ᾧ θυμῷ διζήμενος ἠδὲ μεταλλῶν,
Αἴνους τ' ἐξεῦρεν πολλοὺς, κόσμησέ τε μύθους.
10 Καλ' ἔπεα φρεσὶν ᾗσι καὶ ἡδέα ἵετο Κήρυξ
Εὑρέμεναι, ἀΐοντος ἅ κεν τέρψησιν ἀκουήν.
Ἰθὺ δὲ πᾶν, ὅπερ ἦν κεχαραγμένον ᾗ ἐνὶ βίβλῳ,
Ἰθύ τε καὶ ἔτυμον, ψεῦδος δέ οἱ οὐκ ἔνι μύθοις.
11 Ὡς δ' ἀροτὴρ κέντροισι βοῶν πλευράς τε καὶ ὤμους
Νύξ', οἱ δὲ σπεύδουσιν ἐπεὶ βουπλῆγι τύπησαν·
Ὡς θ' ὅτ' ἀνὴρ ἥλους εὖ εἰδὼς τεκτοσυνάων
Ἐν σανίδεσσιν ἔπηξεν, ἐπεὶ κέλεται μεγάλη ἴς,

Ῥαιστῆρι

Neque robur ægre-eunti, metus autem undique erit.
Et canis florebit amygdalus in temporibus:
Diceres neque cicadam ferre facilè, neque ſine labore,
(Eum) qui talis fuerit, parvum autem pondus eum fatigabit
Neque ampliùs eum cibi in animo deſiderium tenebit.
Quoniam homo longum vadit iter, ad ſuam domum,
Diuturnum ubi & ferreum ſomnum dormiturus eſt,
Mortuum verò lamentantes quotquot cognati, amicíque
Per urbem incedunt ſimul ſacro in circuitu,
Fletúque gemitúque, hic enim honor eſt mortuorum.

Dum adhuc omnia bene-cohærent, & firma ligamenta vitæ
Sunt, argenteus autem nondum ſolvitur funis,
Neque frangitur aureus ſcyphus, neque omninò
Apud fontem confringitur hydria, neque rota apud puteum.

Et tunc mortui pulvis, & oſſa hominis
Convertentur iterùm ad terram, unde priùs acceperunt originem,
Ad Deum verò anima redux ſtatim ibit,
Qui eam primùm dedit, inſpiravítque membris.

O vanitatem infinitam! inquit Præco,
O vanitatem, inſaniámque mortalium! omnia ſunt vana.

Quin-etiam quia Præco animo ſapienti ornatus erat,
Populum adhuc ſcientiam, & conſilia prudentia docuit,
Diligenter autem ſuo animo inquirens, & inveſtigans,
Proverbiáque excogitavit multa, digeſsítque ſermones.

Pulchra verba mente ſuâ & jucunda cupiebat Præco
Invenire, audientis quæ delectent aurem.
Rectum autem totum, quod erat exaratum ejus in libro,
Rectúmque, & verum, mendacium autem ejus non inerat dictis.

Quemadmodum autem arator ſtimulis boum latera, & humeros
Pungit, hi autem feſtinunt poſtquam aculeo percuſſi ſunt:
Et ſicut quando vir clavos peritus artis-fabrilis
In aſſeribus figit, quandoquidem urget magna vis,

Malleo

Ῥαιστῆρι κρατερῷ, ὄφρ' ἔμπεδον αὖθι μένοιεν·
Τοῖοί εἰσι λόγοι ἀνδρῶν πύκα τε φρονεόντων,
Ἄπτεροι, οὓς ἀγορέων ἡγήτορες ἐν φρεσὶ θῆκαν,
Πῆξάν τ' ἐν στήθεσσι βροτῶν, εἷς δ' ὤπασε ποιμήν.
12 Ἀλλ' ἄγε, τέκνον ἐμὸν, τάδ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
Ὅσσ' ὑπὸ νῦν ἐθέμην σοι (ἅλις δέ τοι) ὄφρα πίθηαι·
Βιβλία πολλὰ πόνος μάλα μυρίος· ὃς δέ τ' ἔγραψε,
Μὰψ αὔτως ἐμόγησεν, ἀνήνυστῳ ἐπὶ ἔργῳ·
Καί νυ τόδ' ἀπρήκτους ὀδύνας ἔχει, ὁππότε κέν τις
Γράμματα πυκνὰ μάθῃσι, μενοινήσειέ τε θυμῷ
Πόλλ' ἀναγινώσκων· σαρκῶν τόδέ τ' ὀστέων ἀνίη
Ἀνδρομέων, καμάτῳ δὲ νόος καὶ γυῖα λέλυνται.
13 Εἰ δ' ἐθέλεις μάλ' ἀκοῦσαι, ὃ καὶ τέλος ἔπλετο μύθων,
Ἅζεό τ' Ἀθάνατον, καὶ ἑὰς κρήιμον ἐφετμὰς
Ὀτραλέως· τόδε γὰρ μοῦνον βροτοῦ ἀνέρος ἔργον,
Καὶ τοῦτ' ἔστι τὸ πᾶν· τοῦ μιν χρεὼ, οὔτέ τευ ἄλλου.
14 Ὅ, ττι γὰρ οὖν ποτ' ἔρεξαν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
Ὅσσα τε κεκρύφαται, ἠμὲν κακὸν, ἠδὲ καὶ ἐσθλὸν,
Πάνθ', ὅσα γίνονται, Θεὸς ἐξαγαγεῖν προφόωσδε
Μέλλει, ἀμφὶ δὲ πᾶσι δίκην ἰθύντατα εἰπεῖν
Ἤματι τῷ, ὅτε κεν πυμάτας κρίνῃσι θέμιστας.

ΤΈΛΟΣ.

Malleo forti, ut firmiter ibi maneant :
Talia etiam verba (ſunt) hominum ſapientium,
Firma, quæ concionum principes animis ingerunt,
Figúntque in pectoribus hominum,unus autem (ea)præbuit paſtor.
Verùm age, fili mi, hæc in animo reconde tuo,
Quæcunque nunc te monui (ſatis autem hæc tibi) ut parceas :
Libri multi labor omninò infinitus : qui verò eos ſcribit,
Fruſtrà adeò laborat irrito in opere :
Et hoc inutiles dolores (in ſe) habet, quando quis
Literas ſtudiosè diſcit, meditatúrque in animo
Multa legens : carnis hoc eſt vexatio
Humanæ, labore autem animi etiam membra ſolvuntur.
Si verò vis à me audire (id) quod & finis eſt ſermonum,
Verere Immortalem, & ejus perfice mandata
Sedulò : hoc enim ſolum mortalis hominis opus,
Et hoc eſt totum ; quo illi opus eſt, neque ullâ aliâ re.
Quicquid enim unquam fecerunt in terrâ nationes hominum,
Et quæcunque occulta ſunt, tum malum tum bonum,
Omnia quæ fiunt, Deus prolaturus-eſt in lucem,
De omnibus verò jus rectiſſimè dicturus
Die illo, quando ultimum exercebit judicium.

FINIS.

Epithalamia Sacra,

Sive

CANTICUM
SOLOMONIS

Græcis carminibus

cantatum.

Ἆσμα ἀσμάτων.

ΚΕΦ. α΄.

1 Ἡ Μὲν ἀοιδοτάτη πέλει πασέων ἐστὶν ἀοιδή,
Τὴν Σολομῶν ποίησε· θεὸς γάρ οἱ ἐν φρεσὶν οἴμας
Θεσπεσίας ἐνέφυσ'· ἡ δ' ἔπρεπε καὶ διὰ πασέων.
2 Κύσαι με γλυκεροῖσι φιλήμασι πυκνὰ ῥέουσιν
Αὐτοῦ ἀπὸ στόματος, καὶ χείλεα χείλεσι μῖξαι,
Σεῦ γὰρ ἔρως οἴνοιο μελίφρονός ἐστιν ἀμείνων.
3 Οὕνεκα σῶν τε μύρων πέλεται χαριεστάτη ὀδμὴ
Ἐσθλῶν, ἐκχυμένῳ σέο τ' οὔνομ' ἔοικεν ἐλαίῳ,
Τοὔνεκ' ἔρως ἀπαλῶν δῦ στήθεα παρθενικάων,
Αἵ σε ἐέλδονται, καὶ σφέας γλυκὺς ἵμερος αἱρεῖ.
4 Ἕλκε με, καὶ τότε δὲ μετά σεῦ κραιπνοῖσι πόδεσσι
Θεύσομεθ' ἀσπασίως· βασιλεὺς ἐμὲ οἷο δόμοιο
Ἤγαγεν ἐς θαλάμους· σὺ δὲ χάρμα μέγ' ἄμμι, καὶ εὖχος,
Ὧ κεν γηθήσαιμεν ἐνὶ φρεσί· σοῖο δ' ἔρωτος
Μᾶλλον μεμνῆσθαι οἰόμεν ἠὲ περ οἴνου·
Ἀμφαγαπάζουσίν σε δικαίων ἔθνεα φωτῶν.
5 Ἡ μὲν ἔγωγε μέλαινα, φίλαι Σολυμίπολες, εἰμί,
Ἀλλ' οὖν εἰδαλίμη, καλή δέ τε εἰσοράασθαι,
Ὡς Ἀράβων κλισίαι, ὡς ῥήγεα τοῦ Σολομῶντος.
6 Μή μ' ἴδετ' ὀφθαλμοῖς, μὴ ἐπόψιος ὔμμι γένωμαι,
Ὅττι μελαγχροίης, καὶ ἔχει μ' ἲς ἠελίοιο,
Ὅς μ' εἰς ὦπα ἰδὼν βάλεν ἀκτίνεσσιν ἑῇσι.
Μητρὸς ἐμῆς φίλα τέκνα μοι ἐκπάγλως ὀδύσαντο,
Ἡ δέ τ' ἀλωάων με θέσαν φύλακ', ἀμφιπολεύειν
Ὄρχους ἀλλοτρίους, ὄρχον δ' ἐμὸν οὐκ ἐφύλαξα,
Ἀλλ' ἐμαὶ ἄμπελοι ἦσαν ἄνευ κομιδῆς κατὰ κῆπον.
7 Εἰπέ μοι, ὦ σὺ πέπον, τὸν ἐγὼ περὶ κῆρι φίλησα,
Ὁππόθι ποιμαίνεις, ἢ τ' ἴφια μῆλ' ἀναπαύεις

Ἠμός

Canticum Canticorum.

CAP. I.

HOc celeberrimum præ omnibus eſt canticum,
Quod Solomon fecit;Deus enim ei in mente cantilenas
Divinas indidit ; hæc autem excelluit inter omnes.

Oſculetur me ſuavibus oſculis crebrò fluentibus
Ejus ab ore, & labra labris miſceat,
Tuus enim amor vino dulci eſt melior.

Quia tuorum unguentorum eſt gratiſſimus odor
Bonorum, effuſo tuúmque nomen ſimile-eſt oleo,
Idcirco amor mollium ſubit pectora virginum,
Quæ te deſiderant, & ipſas dulcis cupido capit.

Trahe me, & tum demùm poſt te velocibus pedibus
Curremus libentèr : Rex me ſuarum ædium
Duxit in conclavia ; tu autem gaudium magnum nobis, & gloria
Quâ lætabimur in animo : tuum nobis amorem
Magis memoraturos nos putamus, quàm vinum ;
Diligunt te juſtorum gentes hominum.

Certè quidem ego nigra, charæ Solymitides, ſum,
Veruntamen ſpecioſa,pulchráque aſpectu,
Ut Arabum tentoria, ut aulæa Solomonis.

Nè me intuemini oculis, nè deſpicabilis vobis ſim,
Quia nigri-color, & occupat me vis ſolis,
Qui me in faciem intuens percuſſit radiis ſuis.
Matris meæ chari liberi mihi vehementer iraſcebantur,
Et vinearum me fecerunt cuſtodem,ut curarem
Pomaria aliena, pomarium autem meum non cuſtodivi,
Sed meæ vites erant ſine cultura in horto.

Dic mihi, ò tu jucundiſſime, quem ego in corde amo,
Ubi paſcis, ubi pingues oves requieſcere facis

Ἦμος ῥ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβέβηκε·
Τίπτε γὰρ ὥσπερ ἀλῆτις ἴω παρὰ σοῖς ἑτάροισιν
Ἐξ ὁδοῦ ἀγκλίνασα μετ' ἄλλων πώεα μήλων;
8 Ὦ γύναι, ἣ κάλλει μέγα νικᾷς φῦλα γυναικῶν,
Εἰ τόδε οὐ σάφα οἶσθα μετὰ φρεσὶν, οὐδ' ἐνόησας,
Ἔξιθι δεῦρο νομόνδ', ὅθι φαίνεται ἴχνια μήλων,
Βόσκε τε σοὺς ἐρίφους σταθμοῖς παρὰ ποιμενικοῖσι.
9 Ζωὴ καὶ ψυχὴ, καλῆς σ' ἵπποισιν ἐΐσκω,
Ἵπποις, αἳ ζεύγνυνται ὑφ' ἅρμασι τοῦ Φαραῶνος.
10 Τιμήεσσι λίθοισι τεαὶ στίλβουσι παρειαὶ,
Ἑξείης κατὰ κόσμον ἀρηρόσιν ἀμφὶ πρόσωπα·
Αὐχὴν δὲ χρυσέοισι τέρην ὅρμοισι κέκασται.
11 Γραμμαὶ δὲ χρυσοῖο τετυγμέναι ἀμφὶ χιτῶνα
Στίγμασιν ἀργυρέοισι πεπασμέναι ἔνθα καὶ ἔνθα
Ἀμφί σοι ἔσσονται, χειρῶν ἔργ' ἡμετεράων.
12 Ἕως δείπνησεν ἄναξ, ἔτι καὶ παρέκειτο τράπεζα,
Νάρδος ἐμὴ ἡδεῖαν ἀπαὶ ἕο χεῦεν ὀδωδήν.
13 Οἵη περ σμύρνης εὐώδεος ἔπλετο δεσμὴ,
Τοῖος ἐμοὶ φίλος ἐστί· τὸ δ' ἐν μαζοῖσιν ἐμοῖσι
Κείσεθ' ὅλην διὰ νύκτ', ἐπεί οἱ καλλίπνοος ὀδμή.
14 Τοῖος ἐμοὶ φίλος ἐσθ', οἷος κύπρειό τε βότρυς,
Ἥπερ ἄλις φύεται ἐν ἀλωῆς Ἐγγεδικῇσιν.
15 Ὦ μοι παρθενικέων πεφιλημένη ἔξοχα πασέων,
Ἠνὶ δὲ καλὴ ἐσσὶ, δέμας τε καὶ εἶδος ἀγητὴ,
Ἠνὶ δὲ καλὴ ἐσσὶ, πελειάδος ὄμματ' ἔχουσα.
16 Ὦ φίλ', ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε κύρων,
Ἠνὶ δὲ καλός τ' ἐσσὶ, χάρις δ' ἀπολάμπετ' ὀπωπῆς,
Στίλβων ἀγλαΐηφι· λέχος δέ τε ἄμμι τέθηλε.
17 Δώματος ἡμετέροιο δοκοὶ μὲν κέδριναί εἰσι,
Κέδριναί εἰσι δοκοὶ, φατνώματα δ' ἐκ κυπαρίσσων.

ΚΕΦ.

Quando ſol medium cœlum conſcendit:
Cur enim velut erratrix irem juxta tuos ſocios
E viâ declinans poſt aliarum greges ovium?

O mulier, quæ pulchritudine longè ſuperas genus mulierum,
Si hoc non certò cognoſcis in animo, nec intelligis,
Egredere huc in paſcuum, ubi apparent veſtigia ovium,
Paſcéque tuos hædos ſtabula juxta paſtoralia.

Vita & anima (mea,) pulchris te equabus aſſimilo,
Equabus, quæ junguntur in curribus Pharaonis.

Pretioſis lapidibus tuæ fulgent genæ,
Ordine (&) decorè fixis circa faciem:
Collum autem aureis tenerum monilibus ornatur.

Lineolæ autem ex auro elaboratæ circa veſtem
Punctis argenteis reſperſæ hinc inde
Circa te erunt, manuum opera noſtratum.

Dum cænavit Rex, adhuc & apponebatur menſa,
Nardus mea ſuavem ex ſe fudit odorem.

Qualis myrrhæ bene-olentis eſt faſciculus,
Talis mihi amicus eſt; idcircò inter ubera mea
Jacebit totam per noctẽ, quandoquidẽ ei pulchrè-ſpirans(eſt)odor

Talis mihi amicus eſt, qualis cypri racemus,
Quæ ubertim naſcitur in vineis Engedicis.

O mihi virginibus dilecta longè præ omnibus,
Ecce pulchra tu es, corporéque & formâ ſpectabilis,
Ecce pulchra tu es, columbinos oculos habens.

O amice, meo animo omnium longè chariſſime adoleſcentûm,
Ecce pulcher (tu) etiam es, venuſtas autem reſplendet faciei,
Fulgens nitore: lectus etiam nobis floret.

Domûs noſtræ trabes cedrinæ ſunt,
Cedrinæ ſunt trabes, tigna autem ex cupreſſo.

ΚΕΦ. β'.

1 ΚΑλὸν ἐγὼ ῥόδον εἰμ᾽, ὅπερ ἐν Σαρῶνι τέθηλα,
Καὶ κρίνον ἀγλαόμορφον ἐν ἄγκεσι λειριόεσσιν.
2 Οἷον τὸ κρίνον ἐστὶν ἐνὶ μέσσῃσιν ἀκάνθης,
Τοίη μου φίλη ἐστὶ μέσῃς ἐνὶ παρθενικῇσι.
3 Μηλέη ὡς, ὕλης ἐνὶ δένδρεσι τηλεθόωσα,
Ὣς καὶ ἐμεῦ φίλος ἐστὶν ἐν αἰζηοῖς θαλεροῖσι·
Τερπομένη γὰρ μάλ᾽ αὐτοῦ ὑπὸ σκιῇ ἱμερόεσσῃ
Ἥμην, τοῦ δέ τε καρπὸς ἐμῇ γλυκὺς ἦν ὑπερῴῃ.
4 Ἤγαγέ μ᾽ εἰς οἴνοιο δόμον, δαιτός τε θαλείης,
Καὶ τὸν ἔρωθ᾽ ὑπερέσχεν ἐμεῦ, σημήϊον εἶναι.
5 Ἀμφιφορεῦσί μ᾽ ἐρείδετ᾽, ἀέξετέ μοι μένος οἴνῳ,
Μήλοις τε ζωγρεῖτε κακῶς κεκαφηότα θυμόν·
Οὕνεκ᾽ ἔρως φίλτροισι βαλών μ᾽ ὀδύνῃσιν ἔδωκε,
Τῷ καὶ πόλλ᾽ ἀχέουσ᾽, ὀλιγηπελέουσά τε κεῖμαι.
6 Ἀμφοτέρῃσί με χερσὶν ἑλὼν, κεφαλὴν ὑπερείδει
Σκαιῇ, ἀτὰρ περιφὺς ἔχει ἀγκὰς δεξιτερῆφι.
7 Υ̓́μμιν ἐγὼ, κοῦραι Σολυμίτιδες, ὧδ᾽ ἐπιτέλλω,
(Δορκάδες ἀγρότεραι, νεβροί τ᾽ ἐπιμάρτυροι ἔστων)
Μὴ φίλον ἐξ εὐνῆς ἀνεγεῖραι, πρίν κ᾽ ἐθέλῃσι,
Μηδ᾽ οἱ νήδυμον ὕπνον ἀπὸ βλεφάροιϊν ὀλέσσαι.
8 Οὔατά με φρένα τ᾽ ἀμφὶς ἐμοῦ φίλου ἵκετο φωνή·
Ἠνὶ δ᾽ ἐπ᾽ οὔρεα μακρὰ ποδηνέμος ἅλματι κούφῳ
Ἔρχετ᾽ ἀγαλλόμενος, ῥέα γὰρ περήσει διὰ βουνῶν
Κραιπνὰ ποσὶ σκιρτῶν, πέτεται δ᾽ ἐπὶ πρώονας ἄκρους·
9 Ἠΰτε δορκὰς ὄρεσφιν ἀελλόπος, ἠέ τε νεβρὸς
Ὠκείης ἐλάφοιο, τοῖος μάλα μου φίλος ἐστί.
Στῆ δ᾽ ὄπιθεν τοίχου, ἀμῆς παρὰ ἑρκίον αὐλῆς,
Κύψε δ᾽ ἐκ θυρίδος, διὰ γὰρ κληῗδος ἔλαμψε.
10 Φώνησέν με φίλος μου, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε,
Ὄρσεο νύμφα φίλη, καλή μου, δεῦρ᾽ ἄγ᾽ ἰοῦσα.

CAP. II.

Pulchra ego roſa ſum, quæ in Sarone floreo,
Et lilium formoſum in vallibus floridis.
Quale lilium eſt inter medias ſpinas,
Talis mea amica eſt medias inter virgines.
Malus ceu, ſylvæ inter arbores florens,
Ita & meus amicus eſt inter juvenes florentes:
Delectata autem valdè ejus ſub umbrâ placidâ
Sedebam, ejus autem fructus meo dulcis erat palato.
Duxit me ad vini domum, conviviíque ſplendidi,
Et amorem ſuper me tenuit, ut vexillum eſſet.
Amphoris me fulcite, inſtaurate mihi vires vino,
Malíſque refocillate ægrè ſpirantem animam;
Quoniam amor philtris ſauciavit me, & doloribus affecit,
Ideóque valdè ægra, languenſque jaceo.
Ambabus me manibus prehendens caput ſuffulcit
Siniſtrâ, at complectens tenet in-ulnis dexterâ.
Vobis ego, puellæ Solymitides, ſic mando,
(Capræ agreſtes, hinnulique teſtes ſint;)
Ne amicum (meum) è lecto excitate, antequàm voluerit,
Nec ei dulcem ſomnum à palpebris perdite.
Aures mihi animumque circum mei amici pervenit vox:
Ecce ſuper montes longos aëripes ſaltu levi
Venit exultans, facilè autem tranſgreditur colles
Velocitèr pedibus ſaltans, volat autem ſuper juga ſumma.
Sicut caprea in montibus celeripes, aut hinnulus
Velocis cervæ, talis omninò meus amicus eſt.
Stat autem poſt parietem, noſtræ juxta ſeptum aulæ,
Proſpicit per feneſtram, per clathrum autem emicat.
Vocavit me amicus meus, verbúmque dixit, & compellavit,
Surge, ſponſa chara, pulchra mea, huc age, adesdum.

11 Νῦν γὰρ (ἰδοὺ) ἔαρ ἦλθε, παρῴχηκεν δέ τε χεῖμα,
Καὶ κρύος, οὐρανόθεν δ' ἄρ ὑπερράγη ἄσπετος αἰθήρ,
Οὕνεκά τ' ὄμβρος ὄλωλε, καὶ ὑετὸς ᾤχετο φεύγων,
Σκιδναμένων νεφέων, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη.
12 Ἄνθεα καλὰ πέφανται ἀν' ἀσφοδελὸν λειμῶνα
Ἀγλαΐῃ κομόωντα, γέλασσε δὲ πᾶσα περὶ χθών·
Καὶ φίλη ἤλυθεν ὥρη, ὅτ' ὀρνίθες λιγύφωνοι
Δενδρέων ἐν πετάλοισι καθεζόμεναι πυκινοῖσι
Καλὸν ἀείδουσι, τρυγὼν δέ τε νόσφιν ἀπ' ἄλλων
Ἡμετέρῃ ἐνὶ γαίῃ ὄπα στονόεσσαν ἵησι.
13 Συκῆ ὀλύνθοισι γλυκερὴ βρύει, ἡμερίδες δὲ
Ἡδὺ μάλα πνείουσιν ἀπ' οἰνανθέων ἀπαλάων.
Ὄρσεο νύμφα φίλη, καλή μου, δεῦρ' ἄγ' ἰοῦσα.
14 Τρῆρον ἐμή, ῥωχμοὺς πέτρης ναίουσα πέλεια,
Κλίμακος ὑψηλῆς ἐνὶ κεύθεσιν· ἀλλά μ' ἔασον
Ἀμφότερον, σέ τ' ἐς ὦπα ἰδεῖν, καὶ σὴν ὄπ' ἀκοῦσαι,
Σεῦ γὰρ ἅμα γλυκερή τ' αὐδή, χαρίεσσά τ' ὀπωπή.
15 Εἴδ' ἄγε νῦν, ἕλετ' ἄμμιν ἀλώπεκας αἰολοβούλους,
Τὰς μικρὰς ἕλετ' ἄμμιν ἀλώπεκας, αἳ κατὰ κῆπον
Αἰεὶ σινόμεναι τὴν τρώξιμον, εἶδος ἔχουσι
Καρποῦ ἀπαλοῦ τέρενος, βλάβεται δέ τε γουνὸς ἀλωῆς
Ἡμετέρης, γανόωσι γὰρ ἄμπελοι οἰνάνθῃσιν,
Ἅτε τάχ' ἔσσονται σταφυλαὶ ὑποπερκάζουσαι.
16 Εἰμ' ἄρ ἔγωγε φίλοιο, φίλος δέ τέ μου ἐμός ἐστιν,
(Ὡς ἕνα θυμὸν ἔχοντες ἱμειρόμεθ' ἀλλήλοιϊν)
Ποιμαίνει δ' ἐν ἀγροῖσιν, ὅθι κρίνα λευκὰ φύονται.
17 Εἵως ἑωσφόρος ἡδὺν ἐπὶ χθόν' ἀϋτμένα χεύῃ,
Ἀχλὺν δὲ σκεδάσῃ, ὑπὸ δὲ σκιαὶ ἀΐξωσιν,
Ὦ φίλ' ἐμεῖο πέπον, τῷ 'μῷ κεχαρισμένε θυμῷ,
Δεῦρο μεταστρεφθεὶς ἄγε, δορκάδι δ' ἴσθι ταχείῃ
Ἴκελος, ἢ νεβρῷ ἐλάφων ἐπ' οὔρεσι Βεθήρης.

ΚΕΦ.

Jam enim (ecce!) ver advenit, tranſiit autem hyems,
Et frigus, cælitúſque erumpit ingens ſerenitas,
Quoniam imber periit,& pluvia abiit fugiens,
Diſſipatis nubibus, lucidus autem circumfulget ſplendor.

Flores pulchri apparent per herboſum pratum
Splendidè comantes, ridet autem tota undique tellus:
Et gratum adeſt tempus, cùm aves canoræ
Arborum in foliis ſedentes denſis
Pulchrè canunt, turtur autem ſeorſim ab aliis
Noſtra in terra vocem gemebundam edit.

Ficus groſſos dulcis pullulans-emittit, vites autem
Suave admodum ſpirant à primis-uvis teneris.
Surge, ſponſa chara, pulchra mea, age, huc veni.

Columba mea, fiſſuras petræ habitans columba,
Scalæ excelſæ in latibulis; quin me ſine
Utramque,& te in faciem intueri, & tuam vocem audire,
Tua enim pariter & ſuavis vox,& gratioſus aſpectus.

Eia agite nunc, prehendite nobis vulpes callidas,
Illas parvulas prehendite nobis vulpes, quæ per hortum
Semper nocentes (uvæ) eduli, cibum habent
Fructu de tenero, læditur autem fertile-ſolum vineæ
Noſtræ, luxuriant enim vites germinibus-uvarum,
Quæ & mox erunt uvæ nigricantes.

Sum ego amici (mei,) amicus autem meus, meus eſt,
(Ita unum animum habentes concupiſcimus nos mutuó)
Paſcit autem in agris, ubi lilia alba naſcuntur.

Donec phoſphorus ſuavem ſuper terram halitum fuderit,
Caliginem autem diſperſerint, umbræ autem aufugerint,
O amice mi chariſſime, meo grate animo,
Huc ades reverſus, age, capreæ autem eſto veloci
Similis, aut hinnulo cervorum ſuper montes Betheræ.

ΚΕΦ. γ΄.

1 Κειμένη ἐν λεχέεσιν ἀΰπνου νυκτὸς ἀμολγῷ
Αὐτὸν ἐρεύνησα, ζήτησά τε, τὸν περὶ πάντων
Ἐκ θυμοῦ φιλέω περιώσιον, οὐδέ μιν οὐδ᾽ ὣς
Εὗρον, καὶ μάλα περ διζημένη, ἀλλ᾽ ἀφάμαρτον.
2 Ἀνστᾶσ᾽ ἐκ λεχέων πᾶσαν νῦν ἀμπόλιν εἶμι
Λαοφόροις ἐν ὁδοῖσι, καὶ εὐρυχόροισιν ἀγυῆς,
Μέσσης τ᾽ ἐν τριόδοισιν· ἰοῦσα δὲ τόνδε ματεύσω,
Ὅσπερ ἐμῇ ψυχῇ πάντων πέρι φίλτατός ἐστι·
Τὸν δ᾽ ἐγὼ ἐζήτευν, ἀλλ᾽ ἤμβροτον, οὐδέ μιν εὗρον.
3 Ἀλλ᾽ εὗρον φύλακές με, κατὰ πόλιν οἵ τ᾽ ἀλόωνται,
Πλαζόμενοι· τοὺς δὲ προσεφώνεον, ἔκ τ᾽ ἐρέεινον,
Ἦ ῥά νυ που ἀνὰ ἄστυ ἰόντ᾽ ἐμὸν εἴδεθ᾽ ἑταῖρον,
Ὅς μοι φίλτατός ἐστι, πώ δέ μιν ἔξοχον ἄλλων;
4 Ὡς ὀλίγον παρέβην, τοὺς τε λίπον, ὡς μιν ἐφεῦρον,
Τὸν περὶ κῆρι φίλησα, καὶ ὡς ἴδον, ὥς μιν ἔμαρπτον,
Τοῦ δ᾽ ἐχόμην κρατερῶς, ἐπεὶ ἔλλαβον, οὐδὲ μεθῆκα,
Πρίν μιν ἐς οἶκον ἄγειν καὶ ἐμῆς ὑπερώϊα κηλεὸς,
Μητέρος, ἥ μ᾽ ἐλόχευσε, καὶ ἐξάγαγε προφόωσδε.
5 Ὕμμιν ἐγὼ, κοῦραι Σολυμίτιδες, ὧδ᾽ ἐπιτέλλω,
(Δορκάδες ἀγρότεραι, νεβροί τ᾽ ἐπιμάρτυροι ἔστων)
Μὴ φίλον ἐξ εὐνῆς ἀνεγεῖραι, πρίν κ᾽ ἐθέλησι,
Μηδ᾽ οἱ νήδυμον ὕπνον ἀπὸ βλεφάροιϊν ὀλέσσαι.
6 Ἥδε τίς ἐστιν ἣ ἔρχετ᾽ ἐρημόθεν ὧδ᾽ ἀναβᾶσα,
Ὡς ὅθ᾽ ἑλίγματα καπνοῦ αἰγλέος αἰθέρ᾽ ἱκάνει,
Ὑψόσ᾽ ἀειρόμενα, στακτῆς δέ οἱ ἔπνεεν ὀδμὴ
Πάντοθεν ἐκ μελέων, λιβάνοιό τε λαρὸς ἀϋτμὴ
Εὐκεάτου, εὐόδμου, ἀρωματικῆς τε κονίης
Πάσης, ἣν ἤσκησεν ἀνὴρ θυέων εὖ εἰδώς;
7 Λέκτρον (ἰδοὺ) Σολομῶντος ἀγακλυτὸν, ὃ δ᾽ ἐτύχθη·
Ἑξήκοντα δὲ πάντες ἀολλέες ἀμφὶς ἔκειτο

Ἄλκιμοι

CAP. III.

JAcens in lecto inſomni nocte intempeſtâ
Ipſum indagavi, & quæſivi, quem ſupra omnes
Ex animo diligo impensè, eum autem ne ſic quidem
Inveni, valdè licet perſcrutans, ſed (ab eo) aberravi.

Surgam à lecto, & per totam nunc urbem ibo,
Publicis in ſemitis, & latis compitis,
Mediíſque in triviis ; vadens autem eum quæram,
Qui meæ animæ præ omnibus chariſſimus eſt:
Eum autem ego quæſivi, ſed erravi, nec ipſum inveni.

Sed invenerunt vigiles me, per urbem qui vagantur,
Palantem ; eos autem allocutus ſum, & interrogavi,
Nuncubi per urbem euntem meum vidiſtis amicum,
Qui mihi chariſſimus eſt, colo autem eum præ aliis?
Ut primùm vel paululùm præterierã, eosq; reliquerã, cum inveni
Quem ex corde amo, & ut primùm vidi, eum arripui,
Eíque adhæſi firmitèr, poſtquam prehendi, neque dimiſi,
Priusquam eum in domum dux eſſem, & meæ conclavia matris,
Matris, quæ me enixa eſt, & eduxit in lucem.

Vobis ego, puellæ Solymitides ſic mando,
(Capreæ agreſtes, hinnulíque teſtes ſint)
Nè amicum (meum) è lecto excitate, priusquàm voluerit,
Nec ei dulcem ſomnum à palpebris perdite.

Iſta quænam eſt quæ venit è deſerto huc aſcendens,
Sicut quando vortices fumi turbinoſi ad ætherem perveniunt,
In altum ſublati ; myrrhæ autem ei evaporat odor
Undique ex membris, thurisque dulcis halitus
Fiſſilis, odoriferi, aromaticíque pulveris
Cujusque, quem elaborat vir ſuffituum peritus?

Lectus (ecce) Solomonis egregius, qualis eſt ;
Sexaginta autem omnes conferti circa eum

Ἄλκιμοι ἀνέρες εἰσ', Ἰσραήλοιο μέδοντες,
Ἄλκιμοι ἐν πολέμῳ, κρατεροὶ μηστῶρες ἀϋτῆς·
8 Φάσγανα πάντες ἔχουσιν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλοὶ
Ἐνὶ μάχῃ, καί σφιν πολεμήϊα ἔργα μέμηλε,
Τῷ καὶ ἑκάστῳ ἀνδρὶ μέγα ξίφος αἰὲν ἄορτο
Μηρὸν ἐπὶ στιβαρὸν φόβου εἵνεκα νυκτερινοῖο.
9 Τεῦξεν οἱ αὐτῷ ἄναξ Σολομὼν περικαλλέα δίφρον
Ἐκ δενδρέων ἃ πέφυκεν ἐνὶ Λιβάνῳ θυόεντι.
10 Κίονας ἀργυρέους, χρύσεον ποίησε θέμεθλον,
Πορφυρέην δέ θ' ὑπερτερίην, καθύπερθε καλύψαι,
Καλήν, δαιδαλέην, ἔδαφος δέ τε θῆκεν ἔρωτα,
Καμμέσσον στορέσας, Σολυμαίων παρθενικάων.
11 Ἔξιτε νῦν, φίλα τέκνα πολυκνήμοιο Σιῶνος,
Κοῦραι Ἰουδαῖαι, Σολομῶντα δὲ λεύσσετ' ἄνακτα,
Αὐτόν τε, στέφανόν θ', ᾧ μιν στεφανώσατο μήτηρ
Ἤματι τῷ ὅτε οἱ θαλερὸς γάμος ἐκτετέλεστο,
Καί οἱ ἐνὶ φρεσὶ θυμὸς ἐϋφροσύνῃσιν ἰάνθη.

ΚΕΦ. δ΄.

1 Ὦ μοι παρθενικέων πεφιλημένη ἔξοχα πασέων,
Ἠνὶ σὺ καλὴ ἐσσί, δέμας τε καὶ εἶδος ἀγητή,
Ἠνὶ σὺ καλὴ ἐσσί, πελειάδος ὄμματ' ἔχουσα,
Ἱμερόεν γανόωντα μετὰ πλοκάμοισι τεοῖσι·
Σεῖο κόμαι πλόκαμοί θ' ὡς αἰπόλιον πλατὺ αἰγῶν,
Αἵ θ' ἅμα βοσκόμεναι Γιλεαδόθεν ἐξεφάανθεν.
2 Οἷον ἤΰτε πῶϋ τεοὶ ἑστᾶσιν ὀδόντες,
Αἵ τ' ἐΰ κειρόμεναι, σταφύλῃ τ' ἐπὶ νῶτον ἔϊσαι,
Αἵ τε λοεσσάμεναι ποταμοῦ ἀπὸ καλλιρόοιο
Ἐξανέβαν, πᾶσαι δ' ἔτεκον διδυμάονα τέκνα,
Τάων δ' οὔτις στεῖρ', οὔτ' ἄμμορός ἐστι τόκοιο.
7 Χείλεα σεῖο, φίλη, ὡς νήματα φοινικόεντα
Φαίνετ', ἐρευθιόωντα· ἀειπρεπέες δέ τε μῦθοι,

Καὶ

Fortes viri ſunt, Iſraelis duces
Fortes in bello, ſtrenui artifices pugnæ.
Gladios univerſi habent, quippe didicerunt eſſe boni
In prælio, & ipſis bellica opera curæ-ſunt,
Ideóque unicuique viro (ex iis) magnus enſis ſemper appenſus-eſt
Femur ſuper robuſtum timorem propter nocturnum.
Fecit ſibi ipſi Rex Solomon pulchram lecticam
Ex lignis quæ naſcuntur in Libano odorifero.
Columnas argenteas, aureum fecit fundamentum,
Purpureum autem operimentum, quod ſupernè tegat,
Pulchrum, variegatum, pavimentum autem fecit amorem,
Et in medio ſtravit, Solymæarum virginum.
Egredimini nunc charæ filiæ multi-collis Sionis,
Puellæ Judeæ, Solomonem autem ſpectate Regem,
Ipſúmque, coronámque, quâ eum coronavit mater
Die illo, cùm ejus florentes nuptiæ peractæ ſunt,
Et ei in pectore animus prę-lætitiâ geſtiit.

CAP. IIII.

O Mihi virginibus dilecta longè-præ omnibus,
Ecce ! pulchra es, corporéque & formâ admirabilis,
Ecce ! pulchra es, columbæ oculos habens,
Suave renidentes inter crines tuos:
Tuæ comæ, cincinníque (ſunt) velut grex amplus caprarum,
Quæ ſimul paſcentes de Gileade apparent.
Ovium veluti grex tui ſtant dentes ,
Quæ benè tonſæ, & ad amuſſim dorſo pares,
Quǽque lotæ, amne à pulchrè-fluente
Aſcendunt, ſingulæ autem pepererunt gemellos fœtus,
Earum autem nulla ſterilis, nec expers eſt partûs.
Labia tua, ô amica, ſicut fila coccinea
Apparent, rubentia : decori autem ſermones,

Καί σευ ἀπὸ γλώσσης πλείη χαρίτων ῥέεν αὐδή·
Ἠΰτε γὰρ ῥοιῆς τρύφος ἀγλαὸν εἴδεται ὥρῃ,
Ὣς κρόταφοι φαίνονται ὑπὸ πλοκάμοισι τεοῖσιν.
4 Αὐχήν σευ πύργῳ ἐναλίγκιος ὑψικαρήνῳ,
Πύργῳ Δαβίδαο δαΐφρονος, ὅν ποτ' ἔδειμαν
Τέκτονες ἰδρείῃ, ὁπλοθήκην ἔμμεναι ἀνδρῶν·
Χίλια δ' εἰν αὐτῷ σάκεα κρέματ', ἐν δέ τε πᾶσαι
Ἀσπίδες ὀμφαλόεσσαι ἐρισθενέων ἀνθρώπων.
5 Μαζοί σοί γε δύω ὥσπερ δύο δορκάδες αἰγῶν,
Αἱ διδυμάονές εἰσι, καὶ ἀλλήλῃσιν ὅμοιαι,
Αἱ δέ τ' ἀνὰ κρίνα λευκὰ νέμοντ' ἐριθηλέα ποίην.
6 Εἵως ἑωσφόρος ἡδὺν ἐπὶ χθόν' ἀϋτμένα χεύῃ,
Ἀχλύν τε σκεδάσῃ, ἀπὸ δὲ σκιαὶ ἀΐξωσιν,
Εἶμι ποτὶ σμύρνης εὐώδεος οὔρεα μακρὰ,
Ἔς τε νάπην, ἧ γὰρ λίβανος φύετ' ἤλιθα πολλός.
7 Νύμφα φίλη, σύ γε πᾶσα διαμπερὲς ἔπλεο καλὴ,
Καὶ χάρισι στίλβεις, σπίλος δέ σοι οὐκ ἔνι πάμπαν.
8 Σύν γ' ἐμοὶ ἐκ Λιβάνοιο θυώδεος ἔρχεο, νύμφη,
Σύν γ' ἐμοὶ ἐκ Λιβάνοιο· κάτω βάλε δ' ὄσσε φαεινὼ
Ὑψόθεν ἐξ ἄκρης κορυφῆς σκιόεντος Ἀμάνου,
Ἐκ κορυφῆς Σηνείρου, ἰδὲ ῥίου Ἑρμώνοιο,
Σπείων ἐκ γλαφυρῶν, ὅθι ναιετάουσι λέοντες,
Ἔκ τ' ὀρέων, ἢ παρδαλίων γένος οἰκί' ἔχουσι.
9 Νύμφα φίλη καὶ ἀδελφὴ, ἐμὴν κραδίην ἐδάμασσας,
Σὺ κραδίην ἐδάμασσας ἐμὴν, καὶ θυμὸν ἔκλεψας,
Ἐν δ' ἔτεκές μοι ἔρωτα, ποθόβλητον δέ με θῆκας
Σῶν ἑνί τ' ὀφθαλμῶν, ἑνί θ' ὅρμῳ σῆς ἀπὸ δειρῆς·
10 Ὦ γύναι, αὐτοκασιγνήτη, νύμφη τ' ἐρατεινὴ,
Ὡς σεο καλὸς ἔρως, σέο δ' ὡς γλυκὺς ἵμερός ἐστιν,
Ὡς σευ ἔρως οἴνοιο μελίφρονός ἐστιν ἀμείνων,
Καὶ μύρα σευ ὀδμῇ νίκησεν ἀρώματα πάντα.
11 Χείλεά σευ, νύμφη, ὡς κηρίον εἰσὶ μελισσέων,

Ἡδὺ

Et tua à lingua plena gratiis fluit oratio:
Ut malogranati fragmen ſplendidum videtur in tempore,
Sic tempora apparent ſub crinibus tuis.
Cervix tua turri ſimilis excelſæ,
Turri Davidis bellicoſi, quam olim extruxerunt
Architecti peritè, armamentarium ut-eſſet virorum:
Mille autem in ea ſcuta pendent, inibi etiam omnes
Clypei umbilicati potentum hominum.
Ubera tua bina (ſunt) velut duo hinnuli caprarum,
Qui gemelli ſunt, & ſibi-mutuò ſimiles,
Quique inter lilia alba paſcuntur floridum gramen.
Donec phoſphorus ſuavem ſuper terram halitum fuderit,
Caliginem autem diſperſerit, umbræ autem aufugerint,
Ibo ad myrrhæ odoriferæ montes longos,
Et ad jugum ubi thus naſcitur ubertim multum.
Sponſa chara, tu certè tota penitus es pulchra,
Et gratiis fulges, macula autem in te non eſt omnino.
Mecum è Libano fragranti veni, ò ſponſa,
Mecum è Libano; demitte autem oculos ſplendidos
Deſuper à ſummo vertice umbroſi Amani,
A vertice Seniri, & a jugo Hermoni,
Speluncis è cavis, ubi habitant leones,
Eque montibus, ubi pardorum genus domicilia habent.
Sponſa chara, & ſoror, meum cor domuiſti,
Tu cor domuiſti meum, & animum furata es,
Ingenerâſti autem mihi cupidinem, & amore-captum me feciſti
Tuorum uno oculorum, unóque monili tuo à collo.
O Mulier, ſoror (mea,) ſponsâque amabilis,
Quàm pulcher tuus amor, tua autem quàm dulcis cupido eſt,
Quàm tuus amor vino ſuavi eſt preſtantior,
Et unguenta tua odore ſuperant aromata cuncta!
Labia tua, ò ſponſa, ſicut favus ſunt apum,

Suavitèr

Ἡδὺ μάλα προχέοντα μελισταγέας ῥαθάμιγγας·
Σεῖο δ' ὑπὸ γλώσσῃ γλυκερὸν μέλι καὶ γάλα λευκόν·
Οἵη δ' ἐκ Λιβάνοιο θυώδεος ἵκετ' ἀϋτμή,
Ὀδμὴ δ' ἀμβροσίη κέδρων ἄπο τηλόσ' ὀδώδει,
Ὣς σέθεν εἵματα καλ' ὀδμὴν ἡδεῖαν ἱεῖσι.
12 Κῆπος μὲν κληϊστὸς ἀδελφή, νύμφα τ' ἐμεῖο,
Κληϊστόν τε φρέαρ, σφρηγιζομένη δέ τε πηγή,
Πηγὴ σημάντροιο χαράγμασιν εὖ ἀραρυῖα.
13 Σεῖο δὲ φυταλιὴ ῥοιάων ὄρχατός ἐστι,
Φυταλιὴ καρποῖο μελίφρονος εὐόδμοιο·
Ἔνθα δὲ κοσμηταὶ πρασιαὶ πεφύασι καθ' ὄρχον,
Καρποῖς παντοίοισιν ἐπηετανὸν γανόωσαι,
Κύπρου τ' εὐκεάτου, νάρδοιό τε κηώεσσης,
14 Νάρδου, ἠδὲ κρόκου, καλάμοιό τε, καὶ κινναμώμου·
Δένδρεα δὲ λιβάνου πάντα, σμύρνης τ', ἀλόης τε,
Πάντα τ' ἀρώματ' ἄριστα φύονται σῷ ἐνὶ κήπῳ.
15 Κήπων ἐνθάδε πηγή, ὅθεν φυτά τ' ἀρδμὸν ἔχουσι,
Κρήνη τε, κρουνός τε χέων καλλίρροον ὕδωρ,
Ὑψόσ' ἀναβλύζων ἐπ' ἀλωάων ἐριθηλέων,
Καὶ ποταμοί, καὶ νάματ' ἀπὸ Λιβάνοιο ῥέοντα.
16 Ἔγρεό μοι Βορέη αἰθρηγενές, ἐλθὲ δ' ἐπ' ὄρχον,
Καὶ σὺ πέπον, πρόμολ' ὧδε, νότου μένος ὑγρὸν ἀέντος,
Πρῆσον δὲ πρασιάς, ἵνα τ' ἄνθεά μου κατὰ κῆπον
Ἶς ἀνέμου πνείουσα τὰ μὲν φύῃ, ἄλλα δὲ πέσσῃ,
Ἐκ δὲ ῥέωσιν ἀρώμαθ', ἅλις δ' ᾖ νήχυτος ὀδμή·
Ἔλθοι νῦν ὁ φίλος μευ εὔπνοον ὃν ποτὶ κῆπον,
Ἠδέ θ' ἑῶν δενδρέων μελιηδέα καρπὸν ἔδοιτο.

ΚΕΦ. ε'.

1 Ἦλθον νῦν ἐς ἐμὸν πολυανθέα κῆπον, ἀδελφή,
Νύμφα φίλη, σμύρνην δὲ ξὺν θυέεσσιν ἔδρεψα,
Καὶ χαδόνας μευ ἔδηδα μετὰ μέλιτος γλυκεροῖο,

Καὶ

Suavitèr admodum ſtillantia mellifluas guttas:
Tua autem ſub lingua dulce mel & lac album;
Qualis autem à Libano fragrante venit halitus,
Odor autem ſuavis à cedris procul diffunditur,
Sic tua veſtimenta odorem ſuavem mittunt.

Hortus clauſus (eſt) ſoror, ſponsáque mea,
Clausúsque puteus, obſignatúsque fons,
Fons ſigilli ſculpturis benè firmatus.

Tuum autem plantarium malorum-punicarum hortus eſt,
Plantarium fructûs dulcis odoriferi:
Ibi ordinatæ areolæ producuntur per pomarium,
Fructibus omnigenis annuatim florentes,
Cyprique fiſſilis, nardíque fragrantis,

Nardi, & croci, calamíque, & cinamoni:
Arboréſque thuris omnes, myrrhæque, aloéſque,
Omniáque aromata preſtantiſſima naſcunt tuo in horto.

Hortorum hic fons, unde & plantæ rigationem habent,
Et fons, & ſcaturigo fundens limpidam aquam,
Surſum ebulliens ſuper pomaria florida,
Et flumina, & rivi à Libano fluentes.

Surge mihi Borea ſerenans, veníque ad pomarium,
Et tu amice, accede huc, Noti robur humidum flantis,
Perfla autem areolas, ut flores meum per hortum
Vis venti ſpirans alios producat, alios maturos-reddat,
Diffluant autem aromata, abundè autem ſit multùm-diffuſus odor;
Veniat nunc amicus meus bene-ſpirantem ſuum in hortum,
Et ſuarum arborum dulcem fructum edat.

CAP. V.

Veni nunc in meum floridum hortum, ſoror,
Sponſa chara, myrrham autem cum aromatis (meis) decerpſi,
Et favos meos comedi cum melle dulci,

Καὶ μέθυ μου ἔπιον, γάλα τε κρητῆρος ἀφύσσων·
Ὦ φίλοι, ἐσθίετε βρώμην, καὶ πίνετε οἶνον,
Πίνετ' εὐφροσύνῃσιν. ἐμοὶ ἐρίηρες ἑταῖροι,
Πίνετε ἀσπασίως λαρὸν μέθυ, μηδέ τι φειδώ.
2 Ἦ με μάλ' ὀφθαλμοὺς μαλακὸν περὶ κῶμα καλύπτει,
Ἀλλ' ἐγρηγορέει μοι ἐνὶ στήθεσσι φίλη φρὴν,
Ὑπνώω μὲν ἐγὼ, κραδίη δέ μοι ἔστιν ἄϋπνος·
Ἤδε μὲν ἔπλετο φωνὴ ἐμοῦ φίλου, ἥνπερ ἀκούω,
Ὅς τε θύρας μοι ἄραξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
Ἔρχεο, καί μοι ἄνοιγε, κασιγνήτη ἑτάρη τε,
Νύμφα μου ἱμερόεσσα, πέλεια τέ μου ἀμίαντε,
Καὶ γὰρ ἐμοὶ κεφαλὴν δροσεραὶ ῥαθάμιγγες ἔδευσαν,
Καὶ πλόκαμοι ῥαίνονται ἐέρσῃσιν νυχίῃσιν.
3 Εἵματά μου ἀπέδυν, πῶς ἂν πάλιν ἀμφιβάλωμαι;
Λουσαμένη δ' ἐκάθηρα πόδας, πῶς αὖτε μιήνω;
4 Χεῖρα δ' ἐὴν ὁ φίλος δι' ὀπῆς ἐνέηκε θυράων,
Αὐτίκα δὴ κραδίη μοι ἐνὶ στέρνοισι πάτασσε
Κεῖνον ὀϊομένῃ, καί με γλυκὺς ἵμερος ᾕρει
Ὁρμώμενος ἐν πραπίδεσσι, καὶ ἔνδον σπλάγχν' ἐτάραξεν.
5 Ἐκ λεχέων ἀνστᾶσα θύρας ἐπὶ βῆν θαλάμοιο,
Ὄφρα φίλῳ μου ἀνοίξω. (ὃ δὴν ποτιδέγμενος ἔστη)
Εὗρε δ' ὀχῆας ἀπῶσα, περὶ κληῗδος ἱμάντα
Χεῖρες ἐμαὶ στακτῆς εὐώδεα χεῦαν ἐέρσην
Ἀμβροσίης, σμύρνῃ θ' ἑανῇ ῥέε δάκτυλα πάντα.
6 Τόφρα φίλῳ μου ἄνοιξα, φίλος δ' ἀπελήλυθεν ἤδη,
Οὐκέτι μιμνάζων· τοῦ δ' ὡς ἐγὼ ἔκλυον αὐδὴν,
Ὥς μ' ἔλιπε ψυχὴ, λῦτο δ' ἐν φρεσί μοι φίλον ἦτορ·
Διζεσκόν μιν ἔγωγε διαμπερὲς, οὐδέ που εὗρον,
Λισσομένη καλέεσκον, ὁ δ' οὐκ ἠμείβετο μύθῳ.
7 Ἀλλ' εὗρον φύλακές με, κατὰ πτόλιν οἵ τ' ἀλόωνται,
Πλῆξάν τ', οὔτασάν τε, κακῆς τ' ὀδύνῃσιν ἔδωκαν·
Οἱ κερόσσας τ' εἶχον, καὶ τείχεα μακρὰ πόληος

Ῥύατ'

Et merum meum bibi, lac etiam è cratere hauriens,
O amici, edite cibum, & bibite vinum,
Bibite hilaritèr, mei jucundi ſocii,
Bibite libenter dulce merum, neque ſit parſimonia.
Meos quidem oculos mollis ſopor obtigit,
Sed vigilat mihi in pectore chara mens,
Dormio quidem ego, cor autem meum eſt inſomne:
Hæc utique eſt vox mei amici, quam audio,
Qui & fores mihi pulſat, verbúmque dicit, & (me) compellat,
Surge, & mihi aperi, ſoror, amicáque,
Sponſa mea dilecta, columbaque mea intaminata,
Etenim meum caput roſcidæ guttæ humectârunt,
Et cincinni (mei) conſperguntur rore nocturno.
Veſtes meas exui, quomodo rurſus induam ?
Lavi autem & mundavi pedes, quomodo iterum polluam ?
Manum ſuam amicus per foramen immiſit januæ,
Statim autem cor mihi in pectore palpitabat
Illum expectanti, & me dulce deſiderium cepit
Excitum in precordiis, & intus viſcera turbavit.
E lecto ſurrexi, & ad oſtium perrexi conclavis,
Ut amico meo aperirem, (is diu expectans ſteterat)
Dum autem peſſulum dimovi, circa ſeræ lorum
Manus meæ ſtactes odoriferum ſtillârunt rorem
Fragrantis, myrrhâque ſuavi manârunt digiti omnes.
Tum amico meo aperui, amicus autem jam abierat,
Non amplius manens: ejus autem quamprimùm ego audivi vocem,
Defecit me anima, ſolutum autem erat in pectore mihi charum cor;
Quæſivi ipſum ego accuratè, nec uſquam inveni,
Orans vocavi, ille autem non reſpondit ſermone.
Sed invenêrunt vigiles me, per urbem qui vagantur,
Percuſſerúntque, & vulnerarunt, maliſque doloribus affecerunt;
Quique pinnas murorum tenebant, & mænia longa civitatis

Ῥύατ' ἐφεσταότες, κρήδεμνόν μου ἀφέλοντο.
8 Ὕμμιν ἐγὼ, κοῦραι Σολυμίτιδες, ὧδ' ἐπιτέλλω,
Εἴ που ἐμόν γ' εὕροιτε φιλεύμενον ἔξοχ' ἑταῖρον,
Εἴπατέ οἱ, ὅτ' ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ,
Νοῦσός τε δειμεῖα, καὶ ὡς χαλέπ' ἄλγεα πάσχω,
Οὐταμένη κέντροισι ποθοβλήτοιο μερίμνης.
9 Καὶ τί πρὸς φίλος ἐστὶ φίλων προφερέστερος ἄλλων,
Ὦ γύναι, ἣ κάλλει μέγα νικᾷς φῦλα γυναικῶν;
Καὶ τί πρὸς φίλος ἐστὶ φίλων προφερέστερος ἄλλων;
Ἢ τί τόσον περιγίνεθ', ἵν' ἡμῖν ὧδ' ἐπιτέλλῃς;
10 Λευκὸς μὲν καὶ ἐρυθρὸς ἐμὸς φίλος, ἔξοχος ἄλλων,
Εἰ καὶ μυρίοι εἰσὶν ὁμοῦ, καλοὶ δέ τε πάντες,
Ἠΐθεοι, ὃ δὲ ῥεῖα μεταπρέπει ἀγρομένοισι.
11 Χρυσῷ ἀπεφθοτάτῳ κεφαλή οἱ ἐστὶν ὁμοίη,
Ὀβρύζῳ, καθαρῷ, οὔλη δ' ἀναδέδρομε χαίτη,
Πλοχμοὶ δ' ἠδὲ κόμαι μελανόχροες, ὥς τε κορώνη.
12 Ἴκελοι ὀφθαλμοὶ ἑοὶ ὀφθαλμοῖσι πελειῶν,
Αἵ νύ περ ἑστήκασι παραὶ ποταμοῖο ῥέεθρα,
Λουσαμένοισι γάλακτος, ἅ, τ' εὖ βλεφάροισιν ἄρηρε·
Τοίη οἱ κεφαλή τε καὶ ἄμφω φάεα καλά.
13 Ἠΰτε κοσμηταὶ πρασιαὶ ἑαὶ εἰσι παρειαὶ,
Ἔνθά τ' ἀρώματα πολλὰ, καὶ ἄνθεα τηλεθόωντα
Ὀδμὴν θεσπεσίην μαλακὸν κατὰ κῆπον ἱεῖσι·
Χείλεά οἱ ὡς λείρι' εὔπνοα κηδιπέτηλα
Ἔπλεθ', ἅ, τε στακτῆς εὐώδεα δάκρυα λείβει.
14 Χεῖρες ἑαὶ χρυσέοισιν ὁμοῖαι δακτυλίοισιν,
Οἷς περιέχει ἐρίτιμος ἐν ἁρμονίῃσι φαείνων
Βήρυλλος· καλὴ δὲ σφενδόνη, ἥ περ ἔορτο.
Γαστὴρ αὖ τε νεοπρίστῳ ἐλέφαντι ἔοικε,
Λαμπρῷ σαπφείροισιν ἐεργμένῳ αἰγλήεσσαις.
15 Κίοσι μαρμαρέοις κνῆμαι ἑαὶ εἰσὶν ὁμοῖαι,
Πηγνυμένοις χρυσοῖο ἐπὶ κρηπῖσιν ἀπέφθου·

Ὄμμα

Tuebantur aſtantes, velum meum abſtulerunt.

Vobis ego, puellæ Solymitides, ſic mando,
Sicubi meum inveniatis dilectum ſupra modum amicum,
Dicite ei, quòd amoris me urit inteſtinus ignis,
Morbúsque acutus, & quòd graves dolores patior,
Sauciata aculeis amatoriæ ægritudinis.

Ecquid tuus amicus eſt amicis præſtantior aliis,
O mulier, quæ pulchritudine longè ſuperas gentes mulierum?
Ecquid tuus amicus eſt amicis præſtantior aliis?
Aut quâ-in-re adeò excellit, ut nobis ſic mandares?

Albus & rubicundus (eſt) meus amicus, eximius præ-aliis,
Si vel decies-mille ſint ſimul, iique pulchri omnes,
Juvenes, is tamen facilè eminet inter-congregatos.

Auro ſummoperè-excocto caput eius eſt ſimile,
Obryzo, puro, criſpa autem circumcurrit cæſaries,
Cincinni autem & capilli nigri ut cornix.

Similes oculi ejus oculis columbarum,
Quæ ſtant juxta fluviorum rivos,
Lotis lacte, & qui benè palpebris aptati-ſunt:
Tale illi caput (eſt) atque ambo lumina pulchra.

Sicut ordinatæ areolæ ejus ſunt genæ,
Ubi & aromata multa, & flores vernantes
Odorem præclarum mollem per hortum mittunt:
Labia ejus velut lilia bene-olentia pulchrè-foliata
Sunt, quæ & myrrhæ odoriferas lacrymas ſtillant.

Manus ejus aureis ſimiles annulis,
Quibus eminet pretioſus in juncturis micans
Beryllus; pulchra autem (eſt) pala, quâ incluſus-eſt:
Venter porrò recens-ſecto ebori eſt-ſimilis,
Splendido, ſapphiris circuntecto fulgidis.

Columnis marmoreis crura ejus ſunt ſimilia,
Fixis auri ſuper baſes puri:

Ὄμμα δ' ἑὸν Λιβάνῳ ἰνδάλλεται εἰσοράασθαι,
Ἔξοχον εἰν ἄλλοισι, καὶ ἐκπρεπὲς ἠΰτε κέδροι.
16 Ἡδὺ μάλα στόμ' οἱ ἐστὶ, καὶ ἥδιω ἀϋτμένα χεῦε,
Τῷ καὶ πᾶς ἐρατεινὸς, ἀεὶ χαρίτεσσιν ὁμιλεῖ.
Οὗτος ἔμοιγε φίλος, πάντων πολὺ φίλτατος ἄλλων,
Οὗτος ἐμὸς, κοῦραι Σολυμίτιδες, ἐστὶν ἑταῖρος.

ΚΕΦ. ϛʹ.

1 Πῆ παρέβη ὁ φίλος σου; ἢ ἐς τίνα χῶρον ἀπῆλθεν,
Ὦ γύναι, ἣ κάλλει μέγα νικᾷς φῦλα γυναικῶν;
Πῆ δὲ παρακλίνας ὁ φίλος τεὸς ᾤχετο φεύγων;
Εἴφ', ἵνα μιν μετὰ σοῦ ἅμα διζώμεσθα καὶ ἡμεῖς.
2 Κὰδ δ' ἄρ ἐμὸς φίλος ἦλθε, καὶ εἰς ἑὸν ἵκετο κῆπον,
Ὀρχάτου ἐς πρασιὰς, ὅθ' ἀρώματα τόσσα πεφύκει,
Ἔνθ' ὅ μοι ἀσπασίως κατ' ἄρ ἤϊεν, ὄφρα νέμοιτο
Ὄρχοις ἐν θαλεροῖσιν, ἰδὲ κρίνα λευκὰ λέγοιτο.
3 Εἰμί τ' ἔγωγε φίλοιο, φίλος τέ μευ ἐστὶν ἐμεῖο·
Ὃς δέ τ' ἄδην νέμεται ἀνὰ λείρια καλλιπέτηλα.
4 Ὦ πέπον, ὦ φιλότης, καλὴ σύ μοι ἠΰτε Τίρσα,
Καλή τ' ἠΰτε Τίρσα, καὶ ὡς Σόλυμ' εἶδος ἀγητὴ,
Δεινὴ δ' αἰδοίη τε πέλεις εἰς ὦπα ἰδέσθαι,
Ὡς σημειοφόρων φρικταὶ στίχες ἀσπιστάων.
5 Κλῖνον ἐμεῦ ἀπονόσφι τεὰς καὶ τρέψον ὀπωπὰς,
Νίκησαν γὰρ ἐμὲ, κρατερόν τέ μοι ἕλκος ἔθηκαν·
Σεῖο κόμαι, πλόκαμοί θ' ὡς αἰπόλιον πλατὺ αἰγῶν,
Αἵ θ' ἅμα βοσκόμεναι Γιλεαδόθεν ἐξεφάανθεν.
6 Ὀϊῶν ἠΰτε πῶϋ τεοὶ ἑστᾶσιν ὀδόντες,
Αἵ τε λοεσσάμεναι ποταμοῦ ἀπὸ καλλιρόοιο
Ἐξανέβαν, πᾶσαι δ' ἔτεκον διδυμάονα τέκνα,
Τάων δ' οὔτις στεῖρ', οὔτ' ἄμμορός ἐστι τόκοιο.
7 Ἠΰτε τὸ ῥοιῆς τρύφος ἀγλαὸν εἴδεται ὥρῃ,
Ὣς κρόταφοι φαίνονται ὑπὸ πλοκάμοισι τεοῖσιν.
Εἰσὶ

Vultus autem ejus Libano ſimilis-videtur aſpectu,
Eximius inter alios, & eminens velut cedri.

Suave admodum ei os eſt, & ſuavem halitum fundit,
Adeóque totus amabilis, ſemper cum gratiis verſatur,
Hic mihi dilectus, omnium longè dilectiſſimus aliorum,
Hic meus, puellæ Solymitides, eſt amicus.

CAP. VI.

Quò tranſiit ille amicus tuus? aut in quem locum abiit,
O mulier, quæ formâ longè ſuperas gentes mulierum?
Quò autem declinans ille amicus tuus abiit fugiens?
Dic, ut eum tecum unà quæramus & nos.

Meus amicus deſcendit, & in ſuum venit hortum,
Plantarii ad areolas, ubi aromata tot naſcuntur,
Illuc is libentèr deſcendit, ut paſcat
Pomariis in floridis, & lilia alba colligat.

Sum ego amici (mei,) & amicus meus eſt meus,
Qui & affatim paſcitur inter lilia pulchrè-foliata.

O ſuaviſſima, ô amiciſſima, pulchra tu certè velut Tirſa,
Pulchra velut Tirſa, & ſicut Solyma formâ admirabilis,
Terribilis autem verendaque es in vultum aſpectu,
Ut vexilliferorum tremendæ acies armatorum.

Flecte à me aliorſum tuos, & verte oculos,
Vicerunt enim me, validumque mihi vulnus inflixerunt:
Tuæ comæ, cincinníque (ſunt) velut grex amplus caprarum,
Quæ ſimul paſcentes de Gileade apparent,

Ovium ſicut grex tui ſtant dentes,
Quæ lotæ, amne à pulchrè-fluente
Aſcendunt, ſingulæ autem pepererunt gemellos fœtus,
Earum autem nulla ſterilis, nec expers eſt partûs.

Ut malogranati fragmen pulchrum conſpicitur tempore-maturo,
Sic tempora apparent ſub crinibus tuis.

8 Εἰσὶ καὶ ἑξήκοντα πολύμνηστοι βασίλειαι,
Παλλακίδες τ' ὄαρές τε μετὰ σφίσιν ὀγδώκοντα,
Κτηταὶ, οὐ γαμεταὶ, ἄμυδις δέ τε παρθένοι ἁγναὶ
Μυρίαι, ἀδμῆτες, πληθὺν δ' οὐκ ἔστ' ὀνομῆναι.
9 Ἣ μί' ἐμεῖο πέλεια πέλει, μία μου ἀμίαντος,
Μουνογενὴς κούρη ἧς μητέρος, οἰόθεν οἴη,
Ἠδ' ἀγαπητὴ ἐοῦσα· φιλεῖ δέ μιν ἔξοχα μήτηρ,
Οὕνεκά τ' ἔξαιτον καὶ ἀειπρεπέ' ἔμμεναι οἴει·
Θυγατέρες μιν ἐσεῖδον, ὁμοῦ δέ τέ μιν μακάριζον,
Ὡς χαρίεσσα τέτυκται ἁπασῶν, παλλακίδες τε
Θηήσαντο πάρος, καὶ ἐπευφήμησαν ἅπασαι.
10 Κείνη τίς ποτέ ἐστι γυναικῶν θηλυτεράων,
Ἀμφαδὰ παρκύπτουσ', ἠοῖ ἐναλίγκιος ἄντην,
Μαρμαρυγὴν χαρίεντος ἀπαστράπτουσα προσώπου,
Οἷά τε λευκοπάρῃος ἐπαντέλλουσα σελήνη,
Λαμπρὴ δ' ὥς τε φάος τερψιμβρότου ἠελίοιο,
Δεινὴ δὲ, φρικτή τε, μέγας στρατὸς ἠΰτε λαῶν
Αἰχμητέων, πολέμοιο τέρας μετὰ χερσὶν ἐχόντων.
11 Ὄρχατον ἐς καρύων κατέβην, ἵνα δένδρεα καλὰ
Καὶ καρποὺς πεφυῶτας ἐν ἄγκεσι θηησαίμην,
Ὄφρα καὶ ὀφθαλμοῖσιν ἴδω, γνώω τ' ἐνὶ θυμῷ,
Ἄμπελος εἰ τεθαλυῖα, καὶ εἰ βρύει ἄνθεσι ῥοιή.
12 Ἂν δ' ἔθορε ψυχή μου ἐνὶ φρεσὶν ἅλματι κούφῳ,
Αἶψα μάλ', οὐδ' ἐνόησ', ἐδόκεον δέ τε ῥίμφα πέτεσθαι
Ἅρμασιν Ἀμμιναδάβου εὐξέστοισιν ἐοικώς.
13 Ἔρχεο νοστήσασα παλίντροπος, ὦ Συλαμῖτι,
Ἔρχεο νοστήσασα παλίντροπος, ὄφρα σ' ὁρῶμεν·
Καὶ τί γὰρ ὔμμες ὁρᾷν θέλετ' ἐν Συλαμίτιδι κούρῃ;
Πληθὺν, ὡς ὅτ' ἔναντα δύο στρατοὶ εἵατο λαῶν.

Sunt & ſexaginta à multis-petitæ reginæ,
Concubinæque fœminæque cum iis octoginta
Acquiſititiæ,non nuptæ, ſimulque virgines caſtæ
Innumeræ,intactæ,multitudinem non eſt nominare,
(At) certè una eſt mea columba, una mea immaculata,
Unigenita filia ſuæ matris, unicè una,
Et dilecta exiſtens: amat verò eam præcipuè mater,
Quoniam ſelectam & eximiam eſſe putat.
Filiæ eam viderunt,ſimul autem eam beatam prædicarunt,
Quòd-tam gratiola fuerit: reginæ, concubinæque
Mirabundæ-ſpectârunt, & (ei) applauſerunt omnes.

Illa quæ tandem eſt mulierum fæmellarum,
Palam proſpectans, auroræ ſimilis viſu,
Fulgorem gratiosâ vibrans à facie,
Tanquam alba-genas oriens luna,
Splendida autem ut lux homines-delectantis ſolis,
Terribilis autem & tremenda, ingens velut exercitus populorum
Armatorum, belli ſignum in manibus habentium;

Ad hortum meum deſcendi,ut arbores pulchras,
Et fructus naſcentes in vallibus viderem,
Ut & oculis cernerem, ſcirémque in animo,
Vitis an florida(ſit,)& an pullulans-emittat floſculos malus-punica.
Exiliit autem anima mea in precordiis ſaltu levi,
Repentè admodum, neque ſenſi, videbar autem pernicitèr volare
Curribus Amminadabi benè-politis ſimilis.

Veni, redux,reverſa, ò Sylamitis,
Veni redux, reverſa, ut te videamus:
Ecquid verò vos videre vultis in Sylamitide puellâ;
Multitudinem,ut cùm ex-adverſo duo exercitus ſedent populorum.

ΚΕΦ. ζ'.

1 ὩΣ καλ' ὡς καλοῖσιν ἔχεις ἐπὶ ποσσὶ πέδιλα,
Ὦ θύγατερ κυδίστη ὑπερμενέος βασιλῆος.
Ἄψεα σά, μηροί τε λίθοι ὥς εἰσ' ἐείπμοι,
Τοὺς πολυΐδρις ἀνὴρ τεχνήσατο χερσὶν ἑῇσιν,
Ἔργων εὖ εἰδὼς, θῆκεν δ' ἐνὶ δαίδαλα πολλά.
2 Ὀμφαλὸς αὖ κρητῆρι τετυγμένῳ ἐστὶν ὅμοιος,
Δινωτῷ κρητῆρι τεὸς, περιηγέϊ, καλῷ,
Ὅς θ' ἅλις ἔνδον ἔχει, ἐπεὶ οὐ ποτοῦ ἐστ' ἐπιδευής·
Γαστὴρ σεῖο, φίλη, πυρῶν θημῶνι ἔοικε,
Κοσμητῷ, κρίνα τίνγε περὶ λεύκ' ἐστεφάνωται.
3 Μαζοὶ σοίγε δύω ὥσπερ δύο δορκάδες αἰγῶν,
Αἳ διδυμάονές εἰσι, καὶ ἀλλήλῃσιν ὅμοιαι.
4 Αὐχὴν ἠΰτε πύργος εὐπρίστου ἐλέφαντος
Ὀρθὸς ἐπ' ὤμοιϊν· σεὼ δ' ἄμφω φάεα καλὰ
Ἐν κεφαλῇ λαμπρῇσι κολυμβήθρῃσιν ἔοικεν,
Αἵ τ' εἰσ' εἰν Ἐσεβῶνι πύλης παρὰ Βαθραβικῆσι·
Ῥὶς δέ τοι ὡς Λιβάνοιο θυώδεος ἔπλετο πύργος,
Ὃς βλέπει ἐς κλεινῆς ἱερὰ κρήδεμνα Δαμασκοῦ.
5 Καρμήλῳ κεφαλὴ ὑπὲρ αὐχένος ἐστὶν ὁμοίη,
Πορφύρῃ εἰοικυῖα κόμη, πλόκαμοί τε καρήνου·
Ἐιν ὑπερωϊόφιν βασιλεὺς κατερύκεται αὐτοὺς,
Οἷα δαμεὶς ἐνὶ δεσμῷ, ἔρως δέ τέ οἱ φρένα θέλγει.
6 Ὦ φίλη, ὡς καλή τε, καὶ ἱμερόεσσα τέτυξαι·
Ὡς χαρίεσσα πέλεις, καὶ χάρματα πολλὰ φυτεύεις.
7 Ὑψικόμῳ φοίνικι δέμας μέγεθός τε ἐῴκεις,
Ἔρνος δ' οὔποτε πῖον ἀνέδραμε· σεῖο δὲ μαζοὶ
Βότρυες ὣς σφειγόωσιν ἀγαλλόμενοι σταφυλῇσι.
8 Καὶ τίτ' ἔφην, Φοίνικ' ἀναβήσομαι ἀγλαόκαρπον,
Ὄζους ἀμφοτέρῃσι λαβών· νῦν σεῖό τε μαζοὶ
Ἔσσονται βοτρύεσσιν ἀλίγκιοι ἀμπελίνοισιν,

Οἷα

CAP. VII.

Quàm pulchros quàm pulchris habes in pedibus calceos,
O filia eximia præpotentis regis!
Artus tui, femoráque lapides velut ſunt pretioſi,
Quos peritus vir artificioſè-polivit manibus ſuis,
Operum gnarus, inſeruit autem elegantias multas.
Umbilicus porrò crateri affabre-facto eſt ſimilis,
Tornato crateri tuus, orbiculari, pulchro,
Qui & ſatis intùs habet, quandoquidem potûs non eſt expers:
Venter tuus, amica, tritici acervo ſimilis-eſt,
Ordinato, lilia quem candida circundant.
Ubera tua bina (ſunt) velut duo hinnuli caprarum,
Qui gemelli ſunt, & ſibi-mutuò ſimiles.
Cervix ſicut turris benè-ſecto ex ebore
Erecta ſuper humeros: tui autem utrique oculi pulchri
In capite limpidis piſcinis ſimiles-ſunt,
Quæ ſunt in Eſebone portas juxta Bathrabicas:
Naſus autem tibi velut Libani odoriferi eſt turris,
Quæ ſpectat verſus inclytæ magna mænia Damaſci.
Carmelo caput ſuper cervicem (tuam) ſimile eſt,
Purpuræ ſimilis coma, crinéſque capitis:
In pergulis Rex detinetur ipſe,
Quaſi domitus in vinculo, amor autem ei animum mulcet.
O amica, quam pulchra & deſiderabilis es!
Quàm grata es, & voluptates multas paris!
Alticomæ palmæ corpore & ſtaturâ ſimilis-es,
Surculus autem nunquam talis exortus-eſt: tua autem ubera
Racemi ceu turgent luxuriantes uvis.
Et tum dixi, Palmam conſcendam ſplendidos-fructus-habentem,
Ramos ambabus (manibus) prehendens: nunc tua etiam ubera
Erunt racemis ſimilia viteis,

Veluti-

Οἷά τε μῆλα τεῆς ῥινὸς καλλίπνοος ὀδμή.
9 Οἴνῳ καὶ παναρίστῳ ὁμοίη σεῦ ὑπερῴη,
Ὃς κατὰ λαυκανίης ἰθὺς κίεν ἀνδρὸς ἑταίρου,
Ἡδὺ μάλα προρέων, ὅς θ' ὑπνώοντας ἔγειρε,
Καὶ στόμ' ἄνοιξε βροτῶν, τοὺς κεν γλυκὺς ὕπνος ἔχῃσιν.
10 Εἰμί τ' ἔγωγε φίλοιο. ποθὴ δέ τέ μευ μιν ἱκάνει,
Ὃς δέ τέ μευ ἔραται, καί μιν γλυκὺς ἵμερος αἱρεῖ.
11 Δεῦρό μοι, ὦ φιλότης. ἄγε νῶϊ ἀγρόνδε κίωμεν
Ἄμφω, παννύχιοί τ' ἐνὶ κωμοπόλεσσι μένωμεν.
12 Πρωῒ δ' ἀνιστάμενοι τάχα βείομεν ἐς περ ἀλωάς,
Ἄμπελον ὀψόμενοι, εἴ που ἔπ τ' ὄμφακές εἰσιν,
Ἄνθος ἀφιεῖσαι, ἢ καὶ ὑποπετάζουσιν.
Εἴ τ' ἄρα που ῥοιαὶ νεοθηλέα βλαστὸν ἔφυσαν·
Ἔνθα τέ σοι πρόφρων γλυκεροὺς μευ ἔρωτας ὀπάσσω.
13 Ὀδμὴ δ' ἄσπετος ὦρτο φυέντων μανδραγοράων·
Καρποὶ δ' ἱμερόεντες ἐφ' ἡμετέρῃσι θύρῃσι
Παντοῖοι παρέασ', ἠμὲν νέοι, ἠδὲ παλαιοί,
Τοὺς ἀπό σοι, φίλ', ἔθηκα, φύλαξά τε, ὄφρα φάγησθα.

ΚΕΦ. η'.

1 ΕΙθ' ὡς αὐτοκασίγνητός μοι ἀδελφεὸς εἴης,
Ὃν μήτηρ μευ ἔτικτεν, ὃ δ' αὐτῆς θήσατο μαζόν·
Τῷ σε καὶ ὄντα θύρηφι κύσαιμί κεν, εἴ περ ἔτετμον,
Οὐδέ κεν ὡς λώβην τ' εἴην, καὶ ἐπόψιος ἄλλων.
2 Καί κέ σε μοῦνος ἐμῆς ἐς δώματα κάλ' ἀγάγοιμι,
Σοί θ' ἡγησαίμην εἰς οἶκον ἴσα τεκούσης,
Ἥ κέ μοι εὖ ὑπόθοιτο σαοφροσύνῃσι νόοιο,
Καί τέ με μήδεα πυκνὰ διδάσκοι, ὄφρα δαείω·
Καί κέ τοι ἐνδυκέως οἶνον μελιηδέα δοίην,
Πιέμεν, ἀμβρόσιον, τῷ ἀρώματα πολλὰ μέμικτο,
Καὶ γλυκὺ νέκταρ ἐμῆς κεκερασμένον αἵματι ῥοιῆς,
Τοῦ δ' ὀδμὴ ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει.

Velutíque mala tui naſi pulchrè-ſpirans odor.
Vino etiam optimo ſimile tuum palatum,
Quod per guttur rectà deſcendit mei amici,
Suavitèr admodum fluens, quod & dormientes excitat,
Et os aperit hominum, quos dulcis ſomnus occupat.
Sum ego amici (mei,) deſiderium autem mei eum pertingit,
Ipſe autem me amat, & eum dulcis cupido capit.
Adeſdum mihi, ô amice, age nunc in agrum eamus
Ambo, totâque-nocte in villis maneamus.
Mane autem ſurgentes mox eamus in vineas,
Vitem viſuri, an fortè adhuc uvæ-immaturæ ſint,
Florem emittentes, aut etiam ſubnigreſcere incipiant.
Et an fortè mali-punicæ recens germen produxerint:
Ibique tibi lubens dulces meos amores præbebo.
Odor autem ingens oritur pullulantium mandragorarum:
Fructus autem jucundi noſtra apud oſtia
Omnimodi ſunt, tum novi, tum veteres,
Quos tibi, amice, repoſui, ſervavíque, ut comedas.

CAP. VIII.

Utinam ſicut germanus mihi frater eſſes,
Quem mater mea peperit, is autem ejus ſuxit mammam!
Tum te, licet foris eſſes, oſcularer, ſi invenirem,
Neque ſic (tamen) dedecus eſſem, & deſpicabilis aliis.
Et te matris meæ ad ædes pulchras ducerem,
Tibíque dux eſſem ad domum vadens parentis,
Quæ me benè inſtitueret prudentiâ mentis,
Et me conſilia ſolertia doceret, ut ſcirem;
Et tibi benevolè vinum ſuave darem,
Ad bibendum, fragrans, cui aromata multa permixta-ſunt,
Et dulce nectar mei temperatum ſanguine malogranati,
Ejus autem odor ſuavis à cratere ſpirat.

Méque

3 Καί μέ κεν ἀμφοτέρῃσιν ἑλὼν, κεφαλὴν ὑπερείδοι
Σκαιῇ, ἀτὰρ περιφὺς ἔχοι ἀγκὰς δεξιτερῆφι.
4 Ὕμμιν ἐγὼ, κοῦραι Σολυμίτιδες, ὧδ' ἐπιτέλλω,
Μὴ φίλον ἐξ εὐνῆς ἀνεγεῖραι, πρίν κ' ἐθελήσῃ,
Μηδ' οἱ νήδυμον ὕπνον ἀπὸ βλεφάροιϊν ὀλέσσαι.
5 Ἥδε τίς ἐστιν ἣ ἔρχετ' ἐρημόθεν ὧδ' ἀναβᾶσα,
Ἀσπασίως ἐπὶ κόλπον ἑοῦ κλινθεῖσα φίλοιο;
Ἦ μὲν ἐγώ σ' ἀνέγειρ' ὑπὸ μηλέῃ, ἧ παρ ἔκεισο,
Ἔνθα τέκεν σε τεκοῦσα, καὶ ἔνθα σε γείνατο μήτηρ,
Ἔκ τ' ἄγαγε προφόωσδε, σὺ δ' ἠελίου ἴδες αὐγάς.
6 Θές δέ με σῷ ἐπὶ κῆρι, καὶ ὡς σφρηγῖδα χάραξον,
Ἐν δὲ βραχίονι σεῖο τύπου, σημήϊον εἶναι,
Ἀλλήκτόν τε μένειν, ἵνα μήποτ' ἐμεῖο λάθηαι·
Καὶ γὰρ ἔρως κρατερὸς πέλεται ὡς κὴρ ἐρεβεννὴ,
Ἀργαλέη, θανάτῳ τε βίην καὶ κάρτος ἔοικε,
Δεινὸς δὲ ζῆλος, πύλαι ὡς ἀΐδαο μέλαιναι,
Τοῦ δέ τε ἄνθρακες ὡς πυρὸς ἄνθρακες αἰθομένοιο,
Αἰθομένοιο πυρὸς, τοῦ δ' ὤρετο θεσπιδαὴς φλόξ.
7 Ὕδατα πολλὰ πέδον σβέσαι οὐ δύνατ', οὐδέ θ' ἔρωτα
Οἶδε κατακλύσαι ποταμῶν μένος εὐρὺ ῥεόντων·
Εἴ περ τις κ' ἐθέλοι βίοτον καὶ οἶκον ἅπαντα
Δοῦναι ὑπὲρ τοῦ ἔρωτος, ὀνοστὰ δὲ τοῖό γε δῶρα,
Οὐ γὰρ ἂν ὡς κλήσαιτο, πορὼν περ ἀθέσφατον ὦνον.
8 Αὐτοκασιγνήτη μία μικρὴ ἄμμιν ἐτύχθη,
Μαζοὶ δ' οὐ οἱ ἔασι· τί κεν ῥέξαιμεν ἀδελφῇ
Ἤματι τῷ, ὅτ' ἐν ἀνθρώποις φάτις ἔσσεται αὐτῆς;
(Οὐ γάρ κ' αἰὲν ἄπυστος ἔοι ποτέ·) τίπτε δέ μιν χρεώ;
9 Εἰ μέν τ' οὖν πέλε τεῖχος, ἐπ' αὐτῆς δείμομεν αὐλὴν
Ἀργύρου· εἰ δὲ θύρη, σανίδεσσί μιν ἀμφοτέρωσε
Φράξομεν ἐκ κέδροιο θυώδεος, εὖ ἀραρυίαις.
10 Εἰμί γε τεῖχος ἐγὼ, μαζοὺς δ' ἔχω ἠΰτε πύργους
Ὑψηλοὺς, μεγάλους, γάλα πολλοῖσιν παρέχοντας,

Méque ambabus (manibus) prehenderet, & caput ſuffulciret
Siniſtrâ, at complectens (me) teneret in-ulnis dexterâ.
Vobis ego, puellæ Solymitides, ſic mando,
Nè amicum (meum) è lecto excitate, priusquam voluerit,
Nec ei dulcem ſomnum à palpebris perdite.

Iſta quænam eſt quæ venit ex eremo hîc aſcendens,
Jucundè gremio ſui innitens amici?
Certè ego te exſuſcitavi ſub malo, ubi jacebas,
Ibi peperit te parens, & ibi te genuit mater,
Ediditque in lucem, tu autem ſolis vidiſti jubar.

Pone autem me tuum ſuper cor, & tanquam ſigillo inſculpe,
In brachio autem tuo imprime, ſignaculum ut ſim,
Jugiterque maneam, ut nunquam mei obliviſcaris:
Etenim amor fortis eſt, ut fatum nigrum,
Sævum, mortique vi & robore ſimilis-eſt,
Atrox autem zelus, portæ velut ſepulchri nigræ,
Ejus autem prunæ ſicut ignis prunæ ardentis,
Ardentis ignis, cujus oritur vehementiſſima flamma.

Aquæ multæ cupidinem extinguere non poſſunt, neque amorem
Novit ſubmergere amnium vis latè fluentium;
Etſi quis velit ſubſtantiam (ſuam) & facultates omnes
Dare pro amore, contemnenda tamen ejus (eſſent) munera,
Nam nè ſic quidem acquireret, præbuerit licet ingens pretium.
Soror una parva nobis eſt,
Ubera autem ei non ſunt: quid faciemus ſorori
De illo, cùm inter homines ſermo erit de illâ?
(Non enim ſemper fando-inaudita futura eſt;) quânam autem te ei [opus (erit?)

Siquidem fuerit murus, ſuper eam ædificabimus palatium
Ex-argento; ſin autem janua, tabulatis eam utrinque
Communiemus ex cedro odoriferâ, benè compactis.
Sum utique murus ego, ubera autem habeo ſicut turres
Excelſas, magnas, lac multis præbentia,

Στεῖρα πρίν περ ἐοῦσα, καὶ οὐκ εἰδυῖα τόκοιο·
Καὶ τότε καλή θ' ὡς, καὶ ἐπήρατος ἦν ὁράασθαι
Ὀφθαλμοῖσιν ἑοῖς, ὃ δέ μοι χάριν ὤπασε πολλήν.
11 Ὄρχος ἔην Σολομῶντι περικλυτὸς ἐν Βαλαμῶντι,
Ἀμπελόεις, ὃ γὰρ γουνὸν ἀλωῆς οἰνοπέδοιο
Δῶκ' ἐπιούροισιν, μέγαν ὄρχατον ἀμφιπολεύειν,
Εὖ τε κομιζέμεναι καρποὺς, φυτά τ' ἀμφιλαχαίνειν·
Οἱ δέ τε ἀνδρακὰς αὐτῷ ὄφελλον χίλια πίσαι
Ἀργύρεια, γλυκεροῦ καρποῦ ἐπιεικέ' ἀμοιβήν.
12 Ἡ δέ μευ ἀντίον ἐστὶν ἐμὴ πολύκαρπος ἀλωὴ,
Ἣν ἔχω, ἀμφιέπω τε· σὲ γὰρ χρὴ ἔνθεν ἀρέσθαι
Χίλιά τ', ὦ Σολομῶν, φύλακάς τε διηκόσι' αὐτοὺς,
Οἵ τε κομίζουσι, ῥύαταί τ' ἐριθηλέα καρπόν.
13 Ὦ γύναι, ἣ κήποισιν ἐνὶ πολυανθέσι ναίεις,
Οἱ ἕταροι ὀπὶ σοῦ κλίνουσ' ἀειήκοον οὖας·
Δὸς καί μοι φωνήν τε τεὴν μελίγηρυν ἀκούειν.
14 Σπεῦδ' ἄγε, φίλταθ' ἑταῖρε, γένοιό τε δορκάδι ἶσος,
Ἢ νεβρῷ ἐλάφων ἐπ' ἀρωματικοῖσιν ὄρεσσι.

ΤΕΛΟΣ.

ERRATA.

Pag. 60. *l.* 12. lege ἀλόωνται. *p.* 108. *l.* 26. σει ἐνὶ θυ- *p.* 128. *l.* 4. Ἤ-ματ' δίζ- *p.* 138. *l.* 21. ὅς τε. *p.* 152 *l.* 14. χάριν δ'. *p.* 160. *l.* 25 περι-έειπον. *p.* 166. *l.* 1. ἀλληλάων. *p.* 168. *l.* 19. οἶδα οὐ. *p.* 228. *l.* 23. Αἰπ.

Sterilis anteà licet fuerim, & inſcia partûs:
Et tum pulchra quaſi, & amabilis eram aſpectu
Oculis ejus, is autem mihi favorem exhibuit multum.
Plantarium erat Solomoni inſigne in Balamone,
Vitibus-conſitum, is autem (hoc) fæcundum-ſolum vineæ viniferæ
Tradidit cuſtodibus, ut magnum vinetum colerent,
Et benè curarent fructus, plantáſque circumfoderent:
Hi autem ſinguli ipſi debebant mille pendere
Argenteos, dulcis fructûs æquam compenſationem.
Coram me autem eſt mea frugifera vinea,
Quam habeo, coloque: te autem oportet inde ſumere
Mille, ô Solomon, cuſtodéſque ducentos ipſos,
Qui curant, cuſtodiúntque florentem fructum.
O fœmina, quæ hortis in floridis habitas,
Socii voci tuæ inclinant attentam aurem;
Sine & me vocem etiam tuam dulciſonam audire.
Feſtina age, chariſſime amice, eſtóque capreæ ſimilis,
Aut hinnulo cervorum ſuper aromaticos montes.

FINIS.

ERRATA.

*Pag.*65.*l.*5.*lege* inſcitia men- *p.*181.*l.*23.tus-fueris.*p.*219.*l.*6.pareas.*p.*223.*l.*14.*dele* nobis.*p.*229.*l.*28.diſperſerit.*p.*237.*l.*16.naſcuntur.

F45
7